BYZANTINE GREEK SERIES · VOLUME 86

The Letters of Synesius

Synesius of Cyrene

ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΤΟΛΑΙ

The Letters of Synesius

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 86 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows R. Hercher's text
in the Epistolographi Graeci (Paris, Didot, 1873)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Each letter is headed with its number in Hercher's edition and its addressee.

CONTENTS

Letters 1–4 7
Letters 5–22 31
Letters 23–43 51
Letters 44–50 68
Letters 51–57 86
Letters 58–66 115
Letter 67 133
Letters 68–78 155
Letters 79–93 173
Letters 94–100 193
Letters 101–104 209
Letters 105–113 228
Letters 114–127 247
Letters 128–133 268
Letters 134–141 286
Letters 142–147 305
Letters 148–153 319
Letters 154–159 334

ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΤΟΛΑΙ

LETTERS 1–4

Synesius calls his writings his children, of philosophy and poetry or of rhetoric, and sends Nicander a speech to publish or send back, since a parent is a poor judge of his own. He warns John to fear his enemies and the judges. To his brother he mocks a niece who came to a funeral in bridal finery, and both families' pedigrees. The long fourth letter tells of his voyage from Alexandria under Amarantus with Jews and maimed rustics for crew: a helmsman who leaves the rudder for the Sabbath in a storm, an old man who pilots them into harbor, and Libyan women whose gifts buy a look at the foreign women.

1

Νικάνδρῳ

to-Nicander

Παῖδας ἐγὼ λόγους ἐγεννησάμην, τοὺς μὲν ἀπὸ τῆς
children I words begot the(-ones) indeed from the
σεμνοτάτης φιλοσοφίας καὶ τῆς συννάου ταύτῃ ποιητικῆς,
most-august philosophy and the sharing-a-temple with-her poetry
τοὺς δὲ ἀπὸ τῆς πανδήμου ῥητορικῆς. ἀλλ' ἐπιγνοίη τις
the(-ones) but from the vulgar rhetoric but would-recognize anyone
ἂν ὅτι πατρός εἰσιν ἑνὸς ἅπαντες, νῦν μὲν εἰς σπουδὴν
— that of-father they-are one all now indeed to seriousness
νῦν δὲ εἰς ἡδονὴν ἀποκλίναντος. ὁ δὴ παρὼν οὗτος λόγος
now but to pleasure having-inclined the indeed present this word
ἥστινος μέν ἐστι μερίδος, ἀπὸ τῆς ὑποσχέσεως αὐτοῦ
of-what-ever indeed is part from the promise its
κατερεῖ· παρ' ἐμοῦ δὲ οὕτως ἠγαπήθη διαφερόντως, ὡς
will-declare by me but so it-was-loved exceedingly that
ἥδιστ' ἂν αὐτὸν εἰσποιήσαιμι φιλοσοφίᾳ καὶ τοῖς γνησίοις
most-gladly — it I-would-adopt into-philosophy and among-the legitimate

ἐγκρίναιμι. ἀλλὰ τοῦτο μὲν οὔ φασιν ἐπιτρέψειν οὐδὲ οἱ
would-enroll but this indeed not they-say will-permit even the
νόμοι τῆς πολιτείας, δεινοὶ γάρ εἰσιν εὐγενείας προστάται·
laws of-the state terrible for are of-noble-birth champions
ἔχει δὲ κέρδος ὅ τι ἂν αὐτῷ λάθρᾳ χαρίσωμαι, καὶ πολλὰ
it-has but gain what ever — to-it secretly I-may-grant and many-things
τῆς σπουδαίας μερίδος εἰς αὐτὸν εἰσήνεγκα. ἂν μὲν οὖν καὶ
of-the serious part into it I-brought-in if indeed then also
σοὶ δοκῇ, κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησιν, ἀποψηφισθεὶς
to-you it-seem share the word with-the Greeks having-been-rejected
δὲ ἐπανίτω παρὰ τὸν πέμψαντα· τὰς πιθήκους γάρ φασιν,
but let-it-return to the(-one) having-sent the apes for they-say
ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν,
when they-bear as at-statues to-gaze at-the babies
ἀγαμένας τοῦ κάλλους (οὕτως ἐστὶν ἡ φύσις φιλότεκνον),
admiring the beauty so is the nature child-loving
τὰ δὲ ἀλλήλων ὁρῶσιν ἅπερ ἔστι, πιθήκων παιδία.
the(-babies) but of-one-another they-see what-indeed they-are of-apes children
ἑτέροις οὖν ἐπιτρεπτέον ἐξετάζειν τὰ ἔκγονα· αἱ γὰρ
to-others then it-must-be-entrusted to-examine the offspring the for
εὔνοιαι δειναὶ δεκάσαι τὰς κρίσεις. διὰ τοῦτο Λύσιππος
goodwills terrible to-bribe the judgments because-of this Lysippus
Ἀπελλῆν εἰς τὰς γραφὰς εἰσῆγε, καὶ Λύσιππον Ἀπελλῆς.
Apelles into the paintings brought-in and Lysippus Apelles

2

Ἰωάννῃ

to-John

Ἀφοβία μεγίστη τὸ φοβεῖσθαι τοὺς νόμους, σὺ δὲ αὐτοὺς
fearlessness greatest the to-fear the laws you but them
ᾐσχύνθης ἀεὶ φανῆναι φοβούμενος. τοιγαροῦν δέδιθι
were-ashamed always to-appear fearing therefore fear
τοὺς ἐχθρούς, καὶ μετὰ τούτων τοὺς δικαστάς, ἂν μὴ
the enemies and with these the judges if not
κλέπτωσι. κἂν κλέπτωσι μέν, μὴ σὺ δὲ ᾖς ὁ τὰ
they-steal and-if they-steal indeed not you but be the(-one) the
πλείω διδούς, οὐδὲν ἧττον εὐλαβητέον· ὀργίζονται γὰρ
more giving nothing less must-one-beware are-angry for
ὑπὲρ τῶν νόμων, ὅταν καὶ μισθοδότην προσλάβωσιν.
for the laws when also a-paymaster they-take-on

3

Τῷ ἀδελφῷ Εὐοπτίῳ

to-the brother to-Euoptius

Τρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ, ἡ δὲ ἀδελφιδῆ τότε
third indeed it-was for-Aeschines lying-dead the but niece then
πρῶτον ἦκεν ἐπὶ τὸν τάφον· οὐ γὰρ οἶμαι νομίζεται
first came to the tomb not for I-think it-is-customary
νυμφευτρίαις βαδίζειν ἐπ᾽ ἐκφοράν. ἀλλ᾽ ἐν φοινικίδι
for-bridesmaids to-walk to funeral but in purple
καὶ τότε, καὶ διαφανὴς ὁ κεχρύφαλος, καὶ χρυσία
even then and transparent the hairnet and gold-ornaments
καὶ λίθους ἐξήρτητό τε καὶ περιέκειτο, ἵνα μὴ τῷ
and stones she-had-hung-on both and she-had-about-her that not to-the

νυμφίῳ σύμβολος ἀπαίσιος γένηται. καθεζομένη οὖν
bridegroom omen ill-boding she-may-become sitting then
ἐπ᾽ ἀμφικνεφάλου καθέδρας φασὶν ἀργυρόποδος πολλὰ
on double-cushioned chair they-say silver-footed many-things
κατεμέμφετο τὴν ἀκαιρίαν τῆς συμφορᾶς, ὡς ἦ πρότερον
she-blamed the untimeliness of-the misfortune that either earlier
ἐχρῆν ἢ μετὰ τοὺς γάμους ἀποθανεῖν, καὶ πρὸς
it-was-needful or after the wedding to-die and against
ἡμᾶς ἐφ᾽ οἷς ἐδυστυχοῦμεν ἐμήνιε. μόλις δ᾽ οὖν
us at what-things we-were-unfortunate she-raged scarcely but then
περιμείνασα τὴν ἑβδόμην, καθ᾽ ἣν ἡμεῖς εἱστιάκειμεν
having-waited-for the seventh-day on which we had-feasted
τὸ δεῖπνον τὸ ἐπιτάφιον, ἑαυτήν τε καὶ τὴν φλήναφον
the dinner the funeral herself both and the babbling
γραῦν τὴν τιτθίδα ἐπὶ τὸ ζεῦγος ἀναβιβασαμένη τὸ
old-woman the nurse onto the team having-mounted the
ὀρικόν, πληθούσης ἀγορᾶς, ἅπασι τοῖς παρασήμοις
mule-drawn being-full market with-all the insignia
ἐπόμπευσεν εὐθὺ Τευχείρων ἐλαύνουσα· μέλλει γὰρ εἰς τὴν
she-paraded straight to-Teuchira driving is-going for on the
ἐπιοῦσαν ἑβδόμην ταινιώσεσθαί τε καὶ πυργοφόρος
coming seventh-day to-be-adorned-with-ribbons both and tower-crowned
καθάπερ ἡ Κυβέλη περιελεύσεσθαι. τούτοις ἡμεῖς μὲν
like — Cybele to-go-about by-these we indeed
οὐδὲν ἀδικούμεθα, πλὴν τοῦ καταφανεῖς γεγονέναι λίαν
in-nothing are-wronged except the evident to-have-become very
ἀναισθήτους ἔχοντες συγγενεῖς· ὁ δὲ ἀδικούμενος
insensible having relatives the(-one) but being-wronged
Ἁρμόνιός ἐστιν ὁ τοῦ θυρωροῦ πατήρ, ὡς ἂν εἴποι
Harmonius is the of-the doorkeeper father as — would-say
Σαπφώ, τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ καθ᾽
Sappho the(-things) indeed other temperate and moderate in the by

ἑαυτὸν βίῳ γενόμενος, ἀλλ᾽ ὑπὲρ εὐγενείας ἀμφισβητῶν
himself life having-been but for noble-birth disputing
τῷ Κέκροπι διετέλεσε. τούτου τοῦ πλέον ἢ Κέκροπος
— with-Cecrops he-continued of-this-one the more than of-Cecrops
τὴν θυγατριδῆν ὁ θεῖος Ἡρώδης καὶ θυρωρὸς εἰς Σωσίας
the granddaughter the uncle Herod and doorkeeper to Sosiases
τε καὶ Τιβίους ἀπέδοτο, πλὴν εἰ μή τι λέγουσιν
both and Tibiuses sold except if not something say
ὅσοι καὶ τὸν νυμφίον ἡμῖν μητρόθεν ἀποσεμνύνουσι,
as-many-as also the bridegroom for-us on-the-mother's-side ennoble
γενεαλογοῦντες αὐτὸν ἀπὸ τῆς ἐν φήμῃ Λαΐδος. ἡ
tracing-the-descent of-him from the in fame Lais —
γὰρ Λαΐς, ἔφη τις ἤδη λογογράφος, ἀνδράποδον ἦν
for Lais said someone already chronicler slave was
Ὑκκαρικὸν ἐκ Σικελίας ἐωνημένον, ὅθεν ἡ καλλίπαις
Hyccarian from Sicily bought whence the fair-child
ἡ τεκοῦσα τὸν περιβόητον. καὶ αὐτὴ πάλαι μὲν
the(-one) having-borne the notorious also she formerly indeed
ἐπαλλακεύετο ναυκλήρῳ δεσπότῃ, ἔπειτα μέντοι ῥήτορι, καὶ
was-concubine to-shipmaster master then however to-orator also
τούτῳ δεσπότῃ· τρίτῳ μετ᾽ ἐκείνους ὁμοδούλῳ, καὶ λάθρᾳ
to-this-one master to-third after those fellow-slave and secretly
τῇ πόλει, ἔπειτα λαμπρῶς τῇ πόλει, καὶ προύστη
to-the city then splendidly to-the city and stood-at-the-head
τῆς τέχνης. ἧς ἐπειδὴ τὴν ἐργασίαν ὑπὸ χαλαρᾷ ῥυτίδι
of-the trade of-which when the practice under slack wrinkle
κατέλυσε, τὰς ἐν ἡλικίᾳ παιδοτριβεῖ καὶ τοῖς ξένοις
she-dissolved the(-girls) in prime she-trains and to-the strangers
ἀντικαθίστησιν. ὁ γὰρ υἱὸς ὁ ῥήτωρ ἀφεῖσθαί φησι
she-sets-up-in-her-place the for son the orator to-be-released he-says
τῆς ἀνάγκης τοῦ νόμου μητέρα τρέφειν ἑταίραν. ἄπαγε
from-the necessity of-the law mother to-support courtesan away-with

τοῦ νόμου· τοῖς γὰρ οὕτω γεγονόσιν ἀποδέδεικται μὲν ἡ
the law for-the for so born has-been-shown indeed the
μήτηρ, ὁ δὲ λοιπὸς τῶν γονέων ἀμφισβητήσιμος. ὅσον
mother the but remaining of-the parents disputable as-much-as
οὖν ἀμφοτέροις παρὰ τῶν εὖ γεγονότων ὀφείλεται, τοῦτο
then to-both from the well born is-owed this
πᾶν ἥκειν ἔδει παρὰ τῶν ἀπατόρων εἰς τὰς μητέρας.
all to-come it-was-needful from the fatherless-ones to the mothers

4

Τῷ αὐτῷ

to-the same

Λύσαντες ἐν Βενδιδείου πρὸ δείλης ἑῴας, μόλις ὑπὲρ
having-cast-off at Bendideion before afternoon early scarcely past
μεσοῦσαν ἡμέραν τὸν Φάριον Μύρμηκα παρηλλάξαμεν, δίς
mid day the Pharian Myrmex we-passed twice
που καὶ τρὶς ἐνσχεθείσης τῆς νεὼς τῷ τοῦ λιμένος ἐδάφει.
about and thrice having-been-caught the ship on-the of-the harbor bottom
εὐθὺς μὲν οὖν καὶ τοῦτο πονηρὸς οἰωνὸς ἐδόκει, καὶ σοφὸν
at-once indeed then also this bad omen seemed and wise
ἦν ἀποβῆναι νεὼς ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχοῦς·
it-was to-disembark from-ship from first starting not fortunate
ἀλλὰ φυγεῖν παρ᾽ ὑμῖν ἔγκλημα δειλίας ᾐσχύνθημεν,
but to-incur among you charge of-cowardice we-were-ashamed
καὶ διὰ τοῦτο οὔπως ἔτι ἔσχεν ὑποτρέσαι
and because-of this no-way any-longer was-it-possible to-shrink
οὐδ᾽ ἀναδῦναι. ὥστε κἂν εἴ τι συμβαίη, δι᾽ ὑμᾶς
nor to-back-out so-that even if anything should-happen because-of you
ἀπολούμεθα. καίτοι τί δεινὸν ἦν ὑμᾶς τε γελᾶν καὶ ἡμᾶς
we-shall-perish and-yet what terrible was-it you both to-laugh and us

ἔξω κινδύνων ἑστάναι; ἀλλὰ τῷ Ἐπιμηθεῖ, φασί, τὸ μὲν
outside dangers to-stand but — for-Epimetheus they-say the indeed
μέλειν οὐκ ἦν, τὸ μεταμέλειν δ' ἐνῆν, ὥσπερ ἡμῖν·
to-take-thought not was the to-regret but was-in-him as for-us
τότε γὰρ ἐξὸν σώζεσθαι, νῦν πρὸς ἐρήμοις ἀκταῖς
then for it-being-possible to-be-saved now on desert shores
συναυλίαν ὀλοφυρόμεθα, καὶ πρὸς Ἀλεξάνδρειαν ὁρῶντες
consort-of-pipes we-lament and toward Alexandria looking
ὡς οἷόν τε, καὶ πρὸς τὴν μητέρα Κυρήνην, ὧν τὴν
as possible — and toward the mother Cyrene of-which the(-one)
μὲν ἔχοντες ἀπελίπομεν, τὴν δὲ εὑρεῖν οὐ δυνάμεθα,
indeed having we-left the(-other) but to-find not we-can
ἰδόντες τε καὶ παθόντες ἃ μηδὲ ὄναρ ἠλπίσαμεν.
having-seen both and having-suffered what not-even in-a-dream we-hoped
ἄκουε γάρ, ἵνα μηδὲ σὺ πάνυ χαίρειν σχολάζῃς καὶ
hear for that not-even you very to-rejoice may-have-leisure and
πρῶτόν γ' ὅπως ἡμῖν εἶχε τὰ τοῦ πληρώματος.
first at-least how for-us stood the(-things) of-the crew
ὁ μὲν ναύκληρος ἐθανάτα κατάχρεως ὤν· ναυτῶν δὲ
the indeed shipmaster wished-to-die in-debt being of-sailors but
ὄντων δυοκαίδεκα τῶν πάντων (τρισκαιδέκατος γὰρ ὁ
being twelve the all thirteenth for the
κυβερνήτης ἦν) ὑπὲρ ἥμισυ μὲν καὶ ὁ κυβερνήτης ἦσαν
helmsman was over half indeed and the helmsman were
Ἰουδαῖοι, γένος ἔκσπονδον καὶ εὐσεβεῖν ἀναπεπεισμένον ἦν
Jews race outlawed and to-be-pious having-been-persuaded if
ὅτι πλείστους ἄνδρας Ἕλληνας ἀποθανεῖν αἴτιοι γένωνται·
as most men Greeks to-die causes they-become
τὸ δὲ λοιπὸν ἀγελαῖοι γεωργοί, πέρυσιν οὔπω κώπης
the but rest herd peasants last-year not-yet oar
ἡμμένοι. κοινῇ δὲ οὗτοί τε κἀκεῖνοι πεπηρωμένοι
having-touched in-common but these both and-those having-been-maimed

πάντως ἕν γέ τι μέρος τοῦ σώματος. τοιγαροῦν ἕως
altogether one at-least some part of-the body therefore as-long-as
οὐδὲν ἡμῖν δεινὸν ἦν, ἐκομψεύοντο καὶ ἐκάλουν ἀλλήλους
nothing to-us terrible was they-jested and called one-another
οὐκ ἀπὸ τῶν ὀνομάτων ἀλλ᾽ ἀπὸ τῶν ἀτυχημάτων, ὁ
not from the names but from the misfortunes the
χωλός, ὁ κηλήτης, ὁ ἀριστερόχειρ, ὁ παραβλώψ. ἕκαστος
lame the ruptured the left-handed the squinter each
ἕν γέ τι εἶχε τοὐπίσημον. καὶ ἡμῖν τὸ τοιοῦτον
one at-least some had the-distinguishing-mark and for-us the such
οὐ μετρίαν παρεῖχε τὴν διατριβήν· ἐν τῇ χρείᾳ δὲ οὐκέτι
not moderate provided the pastime in the need but no-longer
γέλως ἦν, ἀλλ᾽ ἐπὶ τούτοις αὐτοῖς ἀποιμώζομεν, ὄντες
laughter was but at these themselves we-wailed being
ἐπιβάται πλεῖν ἢ πεντήκοντα, τριτημόριόν που μάλιστα
passengers more than fifty a-third somewhere most
γυναῖκες, αἱ πλείους νέαι καὶ ἀγαθαὶ τὰς ὄψεις. ἀλλὰ
women the more young and good the faces but
μὴ φθόνει, παραπέτασμα γὰρ ἡμᾶς ἀπετείχιζε, καὶ τοῦτο
not be-envious screen for us walled-off and this
ἐρρωμενέστατον, οὐ πάλαι διερρωγότος ἱστίου τεμάχιον,
most-strong not long-ago having-been-torn sail piece
σωφρονοῦσιν ἀνθρώποις τὸ τεῖχος τὸ Σεμιράμιδος.
for-temperate men the wall the of-Semiramis
ἴσως δὲ κἂν ὁ Πρίαπος ἐσωφρόνησεν Ἀμαράντῳ
perhaps but even — Priapus would-have-been-temperate with-Amarantus
συμπλέων· ὡς οὐκ ἔστιν ὁπότε ἡμᾶς σχολάζειν εἴασεν
sailing-with as not there-is when us to-have-leisure he-allowed
ἀπὸ τοῦ δεδιέναι τὸν ἔσχατον κίνδυνον, ὅστις πρῶτον
from the to-fear the utmost danger who first
μὲν ἐπειδὴ τὸν παρ᾽ ὑμῖν τοῦ Ποσειδῶνος νεὼν
indeed when the among you — of-Poseidon temple

περιεκάμψαμεν, ἄρας ὅλοις ἱστίοις ἠξίου πλεῖν
we-rounded having-hoisted with-whole sails he-thought-fit to-sail
εὐθὺ Ταφοσίριδος, καὶ ἀπεπειρᾶτο τῆς Σκύλλης, ἣν
straight-for Taphosiris and made-trial — of-Scylla which
ἐν τοῖς γραμματείοις ἀποτροπιαζόμεθα. συννενοηκότων δὲ
in the school-books we-avert-with-horror having-perceived but
ἡμῶν καὶ ἀνακεκραγότων οὐ πρὶν ἢ ἐν χρῷ γενέσθαι τοῦ
we and having-cried-out not before than in skin to-be of-the
κινδύνου, μόλις ἐκβιασθεὶς ἀπέστη τοῦ διαναυμαχῆσαι
danger scarcely having-been-forced he-desisted from-the to-fight-a-sea-battle
πρὸς τὰς σπιλάδας. ἐντεῦθεν ἀποστρέψας τὴν ναῦν ὥσπερ
against the reefs thence having-turned the ship as
ἐκ μετανοίας ἐπαφίησι τῷ πελάγει, τέως μὲν ὡς
from repentance he-lets-it-go to-the open-sea for-a-while indeed as
ἐδύνατο καὶ πρὸς κῦμα παραβαλλόμενος, ἔπειτα δὲ καὶ
he-could also against wave beating-up then but also
νότος συνεπιλαμβάνει λαμπρός, ὑφ' οὗ ταχὺ μὲν τὴν
south-wind takes-hold-with strong by which quickly indeed the
γῆν ἀπεκρύπτομεν, ταχὺ δὲ μετὰ τῶν ὁλκάδων ἦμεν
land we-hid quickly but with the merchantmen we-were
τῶν διαρμένων, αἷς οὐδὲν ἔδει Λιβύης τῆς
the(-ones) crossing-over to-which in-nothing was-needed of-Libya the(-Libya)
καθ' ἡμᾶς, ἀλλὰ πλοῦν ἕτερον ἔπλεον. σχετλιαζόντων δὲ
by us but voyage other they-sailed complaining but
ἡμῶν καὶ ἐν δεινῷ ποιουμένων τὸ ἀπηρτῆσθαι τοσοῦτον
we and in terrible making the to-be-cut-off so-far
τῆς γῆς, ὁ Ἰαπετὸς Ἀμάραντος ἐπὶ τῶν ἱκρίων ἑστὼς
from-the land the Iapetus Amarantus on the decks standing
ἐτραγῴδει τὰς παλαμναιοτάτας ἀράς. «οὐ γὰρ δὴ
declaimed-tragically the most-murderous curses not for indeed
πτησόμεθα» ἔφη· «ὑμῖν δὲ πῶς ἄν τις καὶ χρήσαιτο,
we-shall-fly he-said with-you but how — anyone even would-deal

οἳ καὶ τὴν γῆν καὶ τὴν θάλατταν ὑποπτεύετε;» «οὔκ,
who both the land and the sea suspect not
ἤν γέ τις αὐταῖς χρῆται καλῶς, ὦ λῷστε Ἀμάραντε»
if at-least anyone them use well O best Amarantus
πρὸς αὐτὸν ἔφην. «ἡμῖν δὲ οὐδὲ Ταφοσίριδος ἔδει·
to him I-said for-us but not-even of-Taphosiris was-there-need
ζῆν γὰρ ἔδει. καὶ νῦν τοῦ πελάγους τί δεῖ; ἀλλὰ
to-live for there-was-need and now of-the open-sea what need but
πλέωμεν» ἔφην «εὐθὺ Πενταπόλεως, ἀπέχοντες τῆς
let-us-sail I-said straight-for Pentapolis keeping-off from-the
γῆς ὅσον μέτριον, ἴν' εἴ τι καὶ χαλεπόν, οἷα δὴ
land as-much-as moderate that if anything also hard such indeed
τὰ τῆς θαλάττης (ἄδηλον δὲ δήπου καὶ ἔστι καὶ
the(-things) of-the sea unclear but surely both is and
παρ' ὑμῖν λέγεται), λιμήν τις ἡμᾶς ἐκ τοῦ σχεδὸν
among you is-said harbor some us from the near-at-hand
ὑποδέξηται». οὔκουν ἔπειθον λέγων, ἀλλ' ἐξεκεκώφητο τὸ
may-receive not-therefore I-persuaded saying but had-gone-deaf the
κάθαρμα, ἕως ἄνεμος ἀπαρκτίας ἐπαράσσει πολύς, κῦμα
scum until wind north-wind dashes much wave
ἐλαύνων ὑψηλὸν καὶ τραχύ. οὗτος ἄφνω προσπεσὼν τὸ
driving high and rough this-one suddenly having-fallen-on the
ἱστίον ἔμπαλιν ὤθησε καὶ τὰ κυρτὰ κοῖλα πεποίηκεν,
sail backward pushed and the convex-parts concave has-made
ἡ δὲ ναῦς ἐγγὺς ἦλθεν ἐπὶ πρύμναν ἀνατετράφθαι.
the but ship near came to stern to-have-been-capsized
μόλις δ' οὖν αὐτὴν κατεστήσαμεν, καὶ ὁ βαρύστονος
scarcely but then it we-righted and the heavy-groaning
Ἀμάραντος «τοιοῦτον» ἔφη «τὸ ναυτίλλεσθαι τέχνῃ»,
Amarantus such he-said the to-sail by-art
προσδέχεσθαι γὰρ αὐτὸς πάλαι τὸν ἐκ πελάγους ἄνεμον,
to-expect for he long-since the from open-sea wind

καὶ διὰ τοῦτο μετέωρος πλεῖν. κατιέναι γὰρ νῦν
and because-of this aloft to-sail to-come-down for now
ἐγκάρσιος, ἐνδιδόντος τοῦ διαστήματος προστιθέναι τῷ
athwart giving-way the interval to-add to-the
μήκει. τοιοῦτον δὲ εἶναι τὸν πλοῦν τὸν ἡμέτερον οὐκ ἂν εἴ
length such but to-be the voyage the our not — if
γε παρὰ τὰς ἀκτὰς ἐπλέομεν· προσαναπεπλάσθαι γὰρ ἂν
at-least along the shores we-sailed to-have-been-dashed for —
τῇ γῇ. καὶ ἡμεῖς ἀπεδεχόμεθα λέγοντος ἕως ἡμέρα
against-the land and we accepted him-saying as-long-as day
τε ἦν καὶ τὰ δεινὰ οὔπω παρῆν· ἤρξατο γὰρ δὴ
both it-was and the terrible-things not-yet were-present began for indeed
μετὰ τῆς νυκτός, ἀεὶ προϊόντος ἐπὶ μεῖζον τοῦ κλύδωνος.
with the night always advancing to greater the surge
Ἡμέρα μὲν ἦν ἥντινα ἄγουσιν οἱ Ἰουδαῖοι παρασκευήν·
day indeed it-was which keep the Jews preparation
τὴν δὲ νύκτα τῇ μετ᾽ αὐτὴν ἡμέρᾳ λογίζονται, καθ᾽ ἣν
the but night with-the after it day they-reckon on which
οὐδενὶ θέμις ἐστὶν ἐνεργὸν ἔχειν τὴν χεῖρα, ἀλλὰ τιμῶντες
for-no-one lawful is active to-have the hand but honoring
διαφερόντως αὐτὴν ἄγουσιν ἀπραξίαν. μεθῆκεν οὖν ἐκ τῶν
especially it they-keep idleness let-go then from the
χειρῶν ὁ κυβερνήτης τὸ πηδάλιον, ἐπειδὴ τὸν ἥλιον εἴκασεν
hands the helmsman the rudder when the sun he-guessed
ἀπολελοιπέναι τὴν γῆν, καὶ καταβαλὼν ἑαυτὸν πατεῖν
to-have-left the land and having-thrown-down himself to-trample
παρεῖχε τῷ θέλοντι ναυτίλων. ἡμεῖς δὲ τὴν μὲν οὖσαν
he-offered to-the(-one) wishing of-sailors we but the indeed being
αἰτίαν οὐκ εὐθὺς ἐπὶ νοῦν ἐβαλλόμεθα, ἀπόγνωσιν δὲ τὸ
cause not at-once into mind we-put despair but the
πρᾶγμα οἰόμενοι, προσήειμεν ἐλιπαροῦμεν μὴ καταπροέσθαι
thing thinking we-went-up we-besought not to-give-up

μηδέπω τὰς ἐσχάτας ἐλπίδας· καὶ γὰρ δὴ καὶ ἐπεῖχον
yet the last hopes and for indeed also were-rising
αἱ τρικυμίαι, τοῦ πελάγους καὶ πρὸς ἑαυτὸ στασιάσαντος.
the great-waves of-the sea also against itself having-revolted
γίνεται δὲ τὸ τοιοῦτον ὅταν μὴ τῷ λήξαντι πνεύματι καὶ
happens but the such when not with-the having-ceased wind also
τὰ παρ᾽ αὐτοῦ συναναπαύσηται κύματα, ἀλλ᾽ ἰσχῦον ἔχοντα
the from it rest-together waves but strong having
τὸ ἐνδόσιμον τῆς κινήσεως ὑπαντιάζῃ τῇ τοῦ πνεύματος
the impulse of-the motion it-meet with-the of-the wind
ἐπικρατείᾳ, καὶ ἀντεμβάλλῃ ταῖς ἐμβολαῖς. ἔδει γάρ
mastery and it-dash-against the dashings it-was-needful for
μοι καὶ φλεγμαινόντων ὀνομάτων, ἵνα μὴ τὰ μεγάλα κακὰ
to-me also of-inflamed words that not the great evils
σμικροπρεπέστερον διηγήσωμαι. τοῖς οὖν ἐν τῷ τοιῷδε
more-meanly I-may-narrate for-the(-ones) then in the such
πλέουσιν ἀπὸ λεπτοῦ φασὶ μίτου τὸ ζῆν ἠρτῆσθαι. εἰ δὲ
sailing from slender they-say thread the to-live to-hang if but
καὶ ὁ κυβερνήτης νομοδιδάσκαλος εἴη, τίνα δεῖ ψυχὴν
also the helmsman law-teacher be what is-it-needful soul
ἔχειν; ἐπεὶ δ᾽ οὖν συνήκαμεν τὸν νοῦν τῆς ἀπολείψεως
to-have since but then we-understood the meaning of-the abandonment
τῶν πηδαλίων (δεομένων γὰρ ἡμῶν σώζειν τὴν ναῦν
of-the rudders begging for us to-save the ship
ἐκ τῶν ἐνόντων τὸ βιβλίον ἐπανεγίνωσκε), πειθοῦς
from the(-means) at-hand the book he-read-through persuasion
ἀπογνόντες ἀνάγκην ἤδη προσήγομεν. καί τις στρατιώτης
having-despaired-of compulsion already we-applied and some soldier
γεννάδας (συμπλέουσι δὲ ἡμῖν Ἀράβιοι συχνοὶ τῶν ἀπὸ
brave sail-with and with-us Arabians many of-the(-ones) from
τοῦ τάγματος τῶν ἱππέων) τὸ ξίφος σπασάμενος ἠπείλησε
the regiment of-the cavalry the sword having-drawn threatened

τἀνθρώπῳ τὴν κεφαλὴν ἀποκόψειν, εἰ μὴ ἀντιλήψεται
the-fellow the head to-cut-off if not he-will-take-hold
τοῦ σκάφους, ὁ δὲ αὐτόχρημα Μακκαβαῖος οἷος ἦν
of-the vessel the(-one) but very Maccabee such-as he-was
ἐγκαρτερῆσαι τῷ δόγματι. μεσούσης δὲ ἤδη τῆς νυκτὸς
to-persevere in-the doctrine being-mid but already the night
ἀναπείθεται παρ᾽ ἑαυτοῦ πρὸς τῇ καθέδρᾳ γενέσθαι. «νῦν
he-is-persuaded by himself to the seat to-be now
γὰρ» φησίν «ὁ νόμος ἐφίησιν, ἐπειδὴ νῦν σαφῶς τὸν
for he-says the law permits since now clearly the(-race)
ὑπὲρ τῆς ψυχῆς θέομεν.» πρὸς τοῦτο αἴρεται θόρυβος
for the life we-run at this rises uproar
ἐξ ἀρχῆς, ἀνδρῶν οἰμωγή, γυναικῶν ὀλολυγή· ἅπαντες
from beginning of-men wailing of-women shrieking all
ἐθεοκλύτουν ἐποτνιῶντο, τῶν φιλτάτων ὑπεμιμνήσκοντο.
called-on-the-gods besought the(-ones) dearest remembered
μόνος Ἀμάραντος εὔθυμος ἦν, ὡς αὐτίκα περιγράψων τοὺς
alone Amarantus cheerful was as at-once going-to-cancel the
δανειστάς. ἐμὲ δὲ ἐν τοῖς δεινοῖς (ὄμνυμί σοι θεὸν ὃν
creditors me but in the terrible-things I-swear to-you god whom
φιλοσοφία πρεσβεύει) τὸ Ὁμηρικὸν ἔθραττεν ἐκεῖνο, μὴ
philosophy reveres the Homeric troubled that lest
ἄρα ἀληθὲς εἴη τὸν καθ᾽ ὕδατος θάνατον ὄλεθρον εἶναι
then true be the by water death destruction to-be
καὶ αὐτῆς τῆς ψυχῆς. λέγει γὰρ ἔστιν ὅπου τῶν ἐπῶν
also of-itself the soul says for there-is where of-the verses
Αἴας δ᾽ ἐξαπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ, τὸν ἐν
Ajax but utterly-perished since he-drank salt water the in
θαλάττῃ θάνατον ἀκριβεστάτην ἀπώλειαν εἶναι τιθέμενος.
sea death most-exact destruction to-be setting
οὐδένα γοῦν ἄλλον ἐξαπολωλέναι φησίν, ἀλλ᾽ ἕκαστος
no-one at-any-rate other to-have-utterly-perished he-says but each

ἀποθνήσκων ἄιδόσδε βεβήκει. ταῦτ᾽ ἄρα καὶ ἐν δυοῖν
dying to-Hades had-gone these-things then also in two
νεκύαιν ὁ μικρὸς Αἴας οὐδαμοῦ τοῦ δράματος εἰσενήνεκται,
nekyias the lesser Ajax nowhere of-the drama has-been-brought-in
ὡς τῆς ψυχῆς οὐκ οὔσης ἐν ᾅδου· καὶ Ἀχιλλεύς, ἀνὴρ
as the soul not being in Hades and Achilles man
εὐψυχότατός τε καὶ φιλοκινδυνότατος, ἀποδειλιᾷ πρὸς τὸν
most-stout-souled both and most-danger-loving turns-coward toward the
ἐν ὕδατι θάνατον, ὅν γε καὶ λευγαλέον καλεῖ.
in water death which indeed also miserable he-calls
Τούτους ἑλίττων τοὺς λογισμοὺς ὁρῶ τοὺς στρατιώτας
these turning-over the reasonings I-see the soldiers
ἅπαντας ἐσπασμένους τὰς μαχαίρας, καὶ πυθόμενος
all having-drawn the swords and having-inquired
ἐμάνθανον παρ᾽ αὐτῶν ὡς καλὸν ἐπὶ τοῦ καταστρώματος
I-learned from them that good on the deck
ὄντας ἔτι πρὸς τὸν ἀέρα τὴν ψυχὴν ἐρυγεῖν, ἀλλὰ μὴ
being still to the air the soul to-belch-forth but not
πρὸς κῦμα χανόντας. τούτους αὐτοφυεῖς Ὁμηρίδας ἐνόμισα
into wave having-gaped these natural Homerids I-thought
καὶ ἐθέμην τῷ δόγματι. εἶτα κηρύττει τις ἐξαρτᾶσθαι
and I-subscribed to-the doctrine then proclaims someone to-hang-on
χρυσίον οἷς ἐστί· καὶ οἷς ἦν ἐξήρτητο, καὶ
gold to-whom there-is and to-whom there-was was-hung-on both
χρυσίον καὶ ὅ τι ἄξιον χρυσίου. καὶ αἱ γυναῖκες αὐταί
gold and what ever worth gold and the women themselves
τε ἐσκευάζοντο καὶ τοῖς δεομένοις ἀρπεδόνας διένεμον,
both were-getting-ready and to-the(-ones) needing cords distributed
πάλαι καταδεδειγμένον τοῦτο ποιεῖν, νοῦν δὲ ἔχει τοιοῦτον.
long-since having-been-established this to-do sense but it-has such
φέρειν δεῖ τιμὴν ἐντάφιον τὸν ἐκ ναυαγίου νεκρόν.
to-carry it-is-needful payment funeral the from shipwreck corpse

ὁ γὰρ προστυχὼν καὶ κερδάνας νόμους Ἀδραστείας
the for having-chanced-upon and having-profited laws of-Adrasteia
αἰδέσεται, μὴ οὐχὶ μικρόν τι μέρος ἀποδάσασθαι τῷ
will-respect not not small some part to-share with-the(-one)
χαρισαμένῳ τὸ πολλαπλάσιον. καὶ οἱ μὲν ἦσαν πρὸς
having-granted the many-times-more and the(-ones) indeed were at
τούτοις, ἐγὼ δὲ παρακαθήμενος τὸ παλαμναῖον βαλάντιον,
these I but sitting-beside the cursed purse
τὴν παρακαταθήκην τοῦ ξένου, ἔκλαον, ὡς οἶδεν ὁ Ξένιος,
the deposit of-the stranger wept as knows the god-of-strangers
οὐκ εἰ τεθνηξοίμην, ἀλλ᾽ εἰ ὁ Θρᾷξ ἀποστερήσοιτο τῶν
not if I-should-die but if the Thracian should-be-deprived of-the
χρημάτων, ὃν καὶ ἀποθανὼν ἂν ἠσχυνόμην. ἐνταῦθα
money whom even having-died — I-would-be-ashamed-before there
μέν γε τὸ ἐξαπολωλέναι κέρδος ἦν καὶ συναπολωλέναι
indeed at-least the to-perish-utterly gain was and to-perish-together
καὶ ἀποδρᾶναι τὴν αἴσθησιν. ὃ δὲ ἐποίει παρὰ πόδας
and to-escape the perception what but made at feet
τὸν κίνδυνον, οὐχ ἕτερον ἦν ἀλλ᾽ ὅτι πᾶσιν ἱστίοις ἡ
the danger not other was but that with-all sails the
ναῦς ἐφέρετο, ὑποτεμέσθαι δὲ οὐκ ἦν, ἀλλὰ πολλάκις
ship was-carried to-cut-under but not it-was-possible but often
ἐπιχειρήσαντες τοῖς καλῳδίοις ἀπηγορεύκειμεν, τῶν τροχῶν
having-attempted the ropes we-had-given-up the pulleys
ἐνδακόντων, καὶ ὑφώρμει δέος οὐκ ἔλαττον, εἰ καὶ
having-bitten and lurked-beneath fear not less if even
διαγενοίμεθα ἐκ τοῦ κλύδωνος, οὕτως ἔχοντας ἐν νυκτὶ
we-should-get-through from the surge so being in night
πελάζειν τῇ γῇ. φθάνει δὲ ἡμέρα, καὶ ὁρῶμεν τὸν ἥλιον ὡς
to-approach the land anticipates but day and we-see the sun as
οὐκ οἶδ᾽ εἴ ποτε ἥδιον. τὸ δὲ πνεῦμα ῥᾷον ἐγίνετο τῆς
not I-know if ever more-sweetly the but wind more-easily became the

ἀλέας ἐπιδιδούσης, καὶ ἡ δρόσος ἐξισταμένη παρεῖχεν ἡμῖν
warmth increasing and the dew going-out allowed us
κεχρῆσθαι τοῖς καλῳδίοις καὶ τὸ ἱστίον μεταχειρίζεσθαι.
to-use the ropes and the sail to-handle
ὑπαλλάττειν μὲν οὖν ἱστίον ἕτερον νόθον οὐκ εἴχομεν,
to-change indeed then sail other spare not we-had
ἠνεχυρίαστο γάρ· ἀνελαμβάνομεν δὲ αὐτὸ καθάπερ τῶν
it-had-been-pawned for we-took-up but it as of-the
χιτώνων τοὺς κόλπους, καὶ πρὶν ὥρας εἶναι τέτταρας,
tunics the folds and before hours to-be four
ἀποβαίνομεν οἱ τὸ τεθνάναι προσδοκήσαντες ἐν ἐσχατιᾷ
we-disembark the(-ones) the to-have-died having-expected in remote-spot
τινὶ πανερήμῳ καὶ οὔτε πόλιν οὔτε ἀγρὸν ἐχούσῃ γείτονα,
some all-desert and neither city nor field having neighbor
σταδίους ἑκατόν που πρὸς τοῖς τριάκοντα κατόπιν ἀγροῦ.
stades hundred somewhere besides the thirty behind field
ἡ μὲν οὖν ναῦς ἐσάλευεν ἐπὶ μετεώρου (λιμὴν γὰρ ὁ
the indeed then ship rocked on high-sea harbor for the
τόπος οὐκ ἦν) καὶ ἐσάλευεν ἐπ᾽ ἀγκύρας μιᾶς· ἡ ἑτέρα γὰρ
place not was and it-rocked on anchor one the other for
ἀπημπόλητο, τρίτην δὲ ἄγκυραν Ἀμάραντος οὐκ ἐκτήσατο.
had-been-sold third but anchor Amarantus not acquired
ἡμεῖς δὲ ἐπειδὴ τῆς φιλτάτης ἡψάμεθα γῆς, περιεβάλομεν
we but when the dearest we-touched land we-embraced
ὥσπερ ἔμψυχον οὖσαν μητέρα, καὶ ἀποθύσαντες ὕμνους τῷ
as alive being mother and having-sacrificed hymns —
θεῷ χαριστηρίους ὥσπερ εἰώθειμεν, προσεθήκαμεν αὐτοῖς
to-god of-thanksgiving as we-were-accustomed we-added to-them
καὶ τὴν ἔναγχος τύχην ὑφ᾽ ἧς παρὰ δόξαν ἐσώθημεν,
also the recent fortune by which beyond expectation we-were-saved
δύο ἑξῆς ἐπιμείναντες ἡμέρας, ἕως ἂν ἀφυβρίσῃ τὸ
two in-succession having-stayed days until — should-cease-raging the

πέλαγος. ἐπεὶ δὲ ἄπορον ἦν ὁδῷ χρήσασθαι, μηδενὸς
sea since but impassable it-was road to-use no-one
ἀνθρώπων ὁρωμένου, πάλιν ἐπετολμήσαμεν τῇ θαλάσσῃ·
of-men being-seen again we-ventured-on the sea
καὶ ἄραντες εὐθὺς ἀρχομένης ἡμέρας ἐπλέομεν ἐκ
and having-set-sail immediately beginning day we-sailed from
πρύμνης ἀνέμῳ πᾶσαν αὐτὴν καὶ τὴν ἐπιγινομένην ἡμέραν,
stern with-wind all it and the following day
ἧς ἤδη ληγούσης τὸ πνεῦμα ἀπέλιπεν ἡμᾶς, καὶ ἡμεῖς
of-which already ending the wind left us and we
ἠνιάθημεν. ἐμέλλομεν δὲ ἄρα ποθήσειν γαλήνην. ἦν μὲν
were-vexed we-were-going but then to-long-for calm it-was indeed
οὖν τρισκαιδεκάτη φθίνοντος, ἐπηωρημένου δὲ τοσούτου
then thirteenth of-the-waning-month impending but such
κινδύνου, μελλούσης εἰς ταὐτὸ συνδραμεῖσθαι τῆς τε
danger being-about to the-same to-run-together the both
συνόδου τῶν ἄστρων καὶ τῶν πολυθρυλήτων τυχαίων, ἃ
conjunction of-the stars and of-the much-talked-of chance-days which
μηδείς ποτέ φασι πλέων ἐθάρσησε, καὶ δέον ἡμᾶς
no-one ever they-say sailing dared and it-being-needful us
ἐλλιμενίζειν, οἱ δ' ἐλελήθειμεν αὖθις ἀναδεδραμηκότες ἐπὶ
to-lie-in-harbor we but had-unwittingly again having-run-up onto
τὸ πέλαγος. ἡ δὲ στάσις ἤρξατο μὲν ἀπὸ τῶν ἀρκτικῶν
the sea the but strife began indeed from the northern
πνευμάτων, καὶ ὗσέ γε πολλὰ κατὰ τὴν συνοδικὴν νύκτα.
winds and rained indeed much during the conjunction night
ἔπειτα ἠκόσμει τὰ πνεύματα, καὶ ἡ θάλαττα μυκεῶν
then were-disorderly the winds and the sea a-bellowing
ἐγεγόνει. τὰ δὲ περὶ ἡμᾶς, οἷα εἰκὸς ἐν τοῖς τοιούτοις,
had-become the(-things) but about us as-is likely in the such
ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα, ὤνησέ τι τὸ
that not sufferings similar twice we-may-narrate helped somewhat the

μέγεθος τοῦ χειμῶνος. τὸ κέρας ἐτετρίγει, καὶ ἡμεῖς ᾠόμεθα
greatness of-the storm the yard creaked and we thought
προτονίζειν τὴν ναῦν. εἶτα κατεαγὸς μέσον ἐγγὺς μὲν
to-be-stayed-forward the ship then having-broken in-the-middle near indeed
ἦλθεν ἀπολέσαι πάντας ἡμᾶς· ἐπεὶ δὲ οὐκ ἀπώλεσεν, αὐτὸ
came to-destroy all us since but not it-destroyed it
δὴ τοῦτο καὶ περιέσωσεν· οὐ γὰρ ἦν ἄλλως ἐνέγκαι
indeed this also saved not for it-was-possible otherwise to-bear
τὴν βίαν τοῦ πνεύματος, πάλιν δὲ δυσπειθὲς ἦν τὸ ἱστίον
the force of-the wind again but disobedient was the sail
καὶ οὐκ εὔτροχον εἰς καθαίρεσιν. οὕτως οὖν παρὰ δόξαν
and not easy-running for lowering so then beyond expectation
ἀποφορτισάμενοι τὴν ἀπληστίαν τῆς βιαίας φορᾶς ἡμέραν
having-unloaded the insatiability of-the violent rush day
ἑξῆς καὶ νύκτα ἠνέχθημεν, ἧς ἤδη περὶ δευτέραν
in-succession and night we-were-carried of-which already about second
οὔσης ὀρνίθων ᾠδήν, ἐλάθομεν ἐγχρίμψαντες ἀκαρῆ
being of-birds song we-failed-to-notice having-grazed a-trifle
πέτρᾳ προβεβλημένῃ τῆς γῆς ὅσον εἶναι βραχεῖαν
rock jutting-out from-the land so-much-as to-be small
χερρόνησον. βοῆς δὲ γενομένης ἐπειδή τις παρηγγύησεν
peninsula shout but having-arisen when someone passed-the-word
αὐτῇ γῇ πελάσαι, θροῦς ἤρθη πολὺς καὶ ἥκιστα ξύμφωνος,
itself to-land to-approach clamor rose much and least in-harmony
τῶν μὲν ναυτῶν πεφρικότων, ἡμῶν δὲ ἐξ ἀπειρίας τὼ
of-the indeed sailors shuddering we but from inexperience the
χεῖρ' ἐπικροτούντων, καὶ περιβαλλόντων ἀλλήλους καὶ
hands clapping and embracing one-another and
οὐκ ἐχόντων ὅπως χρησώμεθα τῷ πλήθει τῆς χαρᾶς.
not having how we-should-deal with-the abundance of-the joy
ἐλέγετο δὲ ὁ μέγιστος αὐτὸς εἶναι τῶν περιστάντων ἡμᾶς
was-said but the greatest itself to-be of-the having-surrounded us

κινδύνων. ἤδη δὲ ὑποφαινομένης ἡμέρας κατασείει τις
dangers already but appearing day waves-at-us some
ἄνθρωπος χωριτικῶς ἐσταλμένος, καὶ δείκνυσι τῇ χειρὶ
man country-fashion having-been-dressed and shows with-the hand
τόπους ὑπόπτους καὶ ἑτέρους οὓς ἔδει θαρρῆσαι.
places suspicious and others which it-was-needful to-be-confident-of
καὶ τέλος ἦκεν ἐπὶ κελητίου δισκάλμου, ὅπερ ἐξάψας τοῦ
and at-last he-came on skiff two-oared which having-fastened to-the
πλοίου μεταχειρίζεται τὸ πηδάλιον, ὁ δὲ Σύρος ἄσμενος
ship handles the rudder the but Syrian gladly
ἐξέστη τῆς προεδρίας. ἀναλύσας δὲ σταδίους οὐ πλεῖν
stood-down from-the presidency having-put-off but stades not more
ἢ πεντήκοντα τήν τε ναῦν ἐνορμίζει λιμενισκίῳ χαρίεντι
than fifty the both ship he-moors in-little-harbor charming
(Ἀζάριον οἶμαι καλοῦσιν αὐτό), καὶ ἡμᾶς ἐπὶ τῆς ἠόνος
Azarium I-think they-call it and us on the beach
ἀπεβίβασε, σωτὴρ καὶ δαίμων ἀγαθὸς ἀποκαλούμενος. καὶ
disembarked savior and spirit good being-called and
μετὰ μικρὸν ἑτέραν ὁλκάδα εἰσήλασε, καὶ πάλιν ἄλλην,
after little other merchantman he-brought-in and again another
καὶ πρὶν ἑσπέραν εἶναι, πέντε γεγόναμεν ὑπὸ τοῦ θεσπεσίου
and before evening to-be five we-have-become by the divine
πρεσβύτου περισωθεῖσαι φορτίδες, πρᾶγμα ἐναντιώτατον
old-man having-been-saved freighters thing most-opposite
τῷ Ναυπλίῳ ποιοῦντος· καὶ γὰρ οὐχ ὡς ἐκεῖνος τοὺς ἀπὸ
— to-Nauplius doing and for not as that-one the(-ones) from
χειμῶνος ἐδέξατο. ἐς δὲ τὴν ὑστεραίαν ἄλλοι κατῆραν, ὧν
storm he-received on but the next-day others put-in of-which
ἔνιοι τῶν προλαβόντων ἡμᾶς ἦσαν ἀπὸ Ἀλεξανδρείας
some the(-ones) having-set-out-before us were from Alexandria
ἡμέραν. καὶ νῦν ὁλόκληρός ἐσμεν στόλος ἐν νεωρίῳ μικρῷ.
by-a-day and now complete we-are fleet in dockyard small

ἐπεὶ δὲ ἡμῖν ἤδη καὶ τὰ ἐφόδια κατεδήδοτο (οὐ γὰρ ὄντες
since but for-us already also the provisions had-been-eaten-up not for being
ἐθάδες ἀτυχεῖν οὐδ' ἐλπίσαντες ἂν ὑπερήμεροι γενέσθαι
accustomed to-be-unfortunate nor having-expected — overdue to-become
μέτριά γε ἐνετιθέμεθα, καὶ οὐδὲ τούτοις μετρίως
moderate-things indeed we-put-in and not-even these moderately
ἐχρώμεθα), ὁ πρεσβύτης καὶ τοῦτο ἠκέσατο, δοὺς
did-we-use the old-man also this healed having-given
μὲν οὐδέν (οὐδὲ γὰρ οὐδ' ὅμοιος ἦν ἔχοντι), δείξας
indeed nothing not-even for even like was to-one-having having-shown
δὲ πέτρας, ἐν αἷς ἄριστον ἔφη καὶ δεῖπνον ἑκάστης
but rocks in which breakfast he-said and dinner of-each
ἡμέρας κεκρύφθαι τοῖς βουλομένοις πονεῖν. ἐντεῦθεν
day to-have-been-hidden for-the(-ones) wishing to-toil thence
ἰχθυώμενοι ζῶμεν ἡμέραν ἑβδόμην ἤδη, οἱ μὲν ἐντελεῖς
fishing we-live day seventh already the(-ones) indeed grown-men
μυραίνας τε καὶ καράβους εὐμεγέθεις αἱροῦντες, τὰ δὲ
moray-eels both and crayfish good-sized catching the but
μειράκια κωβιοὺς εὐτυχεῖ καὶ ἰούλους. ἐγὼ δὲ καὶ ὁ
lads gobies have-luck-with and rainbow-wrasses I but and the
θρησκευτὴς ὁ Ῥωμαῖος ἐπὶ ταῖς λεπάσι ῥωννύμεθα. ἡ δὲ
worshiper the Roman on the limpets are-strengthened the but
λεπὰς ὄστρεόν ἐστι κοῖλον, ὅπερ ἐπειδὰν ἐπιλάβηται πέτρας,
limpet shellfish is hollow which when it-takes-hold-of rock
ἀπισχυρίζεται. τὰ μὲν οὖν πρῶτα γλίσχρως ἐζῶμεν
holds-fast the(-things) indeed then first meagerly we-lived
ἀπὸ τῆς θήρας, περιεχόμενος ἕκαστος ὅτου καὶ λάβοιτο,
from the catch clinging each to-what-ever also he-might-take
ἐδίδου δὲ δῶρα οὐδεὶς οὐδενί· νυνὶ δὲ ἐν ἀφθονωτέροις
gave but gifts no-one to-anyone now but in more-abundance
ἅπαντες ἀπὸ τοιᾶσδε αἰτίας. αἱ γυναῖκες ταῖς γυναιξίν,
all from such cause the women to-the women

αἱ Λίβυσσαι ταῖς πλεούσαις, βούλοιντο μεντἂν καὶ
the Libyan-women to-the(-women) sailing would-wish indeed also
τὸ ὀρνίθων γάλα παρασχεῖν. παρέχουσι γοῦν ὅσα
the of-birds milk to-provide they-provide at-any-rate as-much-as
αὐταῖς ἀήρ τε φέρει καὶ γῆ, τυρούς, ἄλευρα, πέμματα ἐκ
for-them air both bears and land cheeses meal cakes from
κριθῶν, κρέα ἄρνεια, ἀλεκτορίδας, ᾠὰ ἀλεκτόρεια. ἤδη
barley meats of-lamb hens eggs of-hens already
δέ τις καὶ ὠτίδα ἔδωκεν, ὄρνεον ἐκτόπως ἡδύ· ἰδὼν
but someone also bustard gave bird extraordinarily sweet having-seen
ἂν ἄγροικος ἐπείποι ταῶν. αὗται δὴ κατακομίζουσιν
— rustic would-call peacock these indeed bring-down
ἐπὶ τὴν ναῦν τὰ δῶρα, αἱ δὲ δεχόμεναι κοινοῦνται
onto the ship the gifts the(-women) but receiving share
τοῖς βουλομένοις. οἱ δὲ ἡμῖν ἤδη τὰ ἀπὸ
with-the(-ones) wishing the(-men) but to-us already the(-things) from
τῆς θήρας δωροῦνται, καὶ ἥκει τις ἄλλος ἐπ᾽ ἄλλῳ, παῖς
the catch present and comes one another upon another boy
ἐπ᾽ ἀνδρὶ καὶ ἀνὴρ ἐπὶ παιδί, φέρων ἀεί τί μοι ξένιον,
upon man and man upon boy bringing always some to-me guest-gift
ὁ μὲν ἠγκιστρωμένον ἰχθύδιον, ὁ δὲ ἄλλος ἄλλο
the(-one) indeed having-been-hooked little-fish the but other other
τι, πάντως ἕν γέ τι ἀγαθὸν ὧν φέρουσι πέτραι.
something altogether one at-least some good of-which bear rocks
ἐμοὶ γὰρ οὐκ ἔστι βουλομένῳ τὰ παρὰ τῶν γυναικῶν
for-me for not it-is wishing the(-things) from the women
δέχεσθαι, σὴν χάριν καὶ τοῦτο, ἵνα μή τις ἐκεχειρία μοι
to-receive for-your sake also this that not some truce for-me
πρὸς αὐτὰς γένηται, κᾆτα ἐπειδὰν ἐξόμνυσθαι δέῃ,
with them happen and-then when to-forswear it-be-needful
διαπορούμην ἀρνούμενος. ἐπεὶ τί ἐκώλυε τό γε ἐπὶ τοῖς
I-be-at-a-loss denying since what prevented the indeed in the

ἐπιτηδείοις τρυφᾶν; οὕτω πολλὰ πολλαχόθεν συρρεῖ.
provisions to-live-luxuriously so many-things from-many-sides flow-together
σὺ μὲν οὖν ἀρετὴν λογιῇ τὴν φιλοφροσύνην τῶν
you indeed then virtue will-reckon the kindliness of-the
ἐγχωρίων ἣν εἰς τὰς ἐπιξενουμένας ἐνδείκνυνται·
natives which toward the(-women) being-guests they-show
τὸ δὲ ἑτεροῖόν ἐστιν, οἷον ἄξιον εἶναι καὶ διηγήσασθαι,
the(-thing) but different is such worthy to-be also to-narrate
καὶ ταῦτα ἐπὶ τῆς νῦν ἐμοὶ παρούσης σχολῆς. μήνιμα
and that in the now to-me present leisure wrath
Ἀφροδίτης, ὡς εἰκάσαι, κατέχει τὴν χώραν· δυστυχοῦσι
of-Aphrodite as to-guess holds the country they-are-unfortunate
γὰρ ὅπερ αἱ Λήμνιαι. καὶ γὰρ ὑπερμαζῶσι καὶ
for what the Lemnian-women and for they-are-over-breasted and
ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, ὥστε τὰ βρέφη μὴ διὰ
disproportionately are of-the breasts so-that the babies not under
μάλης ἀλλὰ διὰ τῶν ὤμων σπᾶν τῆς θηλῆς ἀναβεβλημένης.
armpit but over the shoulders to-suck the nipple having-been-thrown-up
εἰ μή τις εἴποι τὸν Ἄμμωνα καὶ τὴν Ἄμμωνος γῆν
if not anyone should-say — Ammon and the of-Ammon land
οὐ μᾶλλον εἶναι μηλοτρόφον ἢ κουροτρόφον ἀγαθήν,
not more to-be sheep-rearing than child-rearing good
ἀνεῖναι δὲ τὴν φύσιν ἀνθρώποις ὁμοίως καὶ κτήνεσι
to-let-loose but the nature for-men alike and for-beasts
δαψιλεστέρας καὶ ἁδροτέρας τὰς τοῦ γάλακτος πίδακας,
more-abundant and stouter the of-the milk springs
καὶ εἰς τοῦτο δεῖν ἁδροτέρων οὐθάτων τε καὶ
and for this to-be-needful stouter udders both and
θυλάκων. μανθάνουσαι δὴ παρὰ τῶν ἀνδρῶν, οἵστισι
bags learning indeed from the men to-whom
συμβόλαιον γέγονε πρὸς ἄνθρωπον ὑπερόριον, ὅτι μὴ πᾶν
dealing has-been with man foreign that not all

τὸ θῆλυ τοιοῦτόν ἐστιν, ἀπιστοῦσι· καὶ ἐπειδὰν λάβωνται
the female such is they-disbelieve and when they-get-hold-of
γυναικὸς ξένης, φιλοφρονοῦνται καὶ πάντα δρῶσιν, ἔστ' ἂν
woman foreign they-are-friendly and all-things do until —
τὰς ἀγκάλας διερευνήσωνται. ἡ δὲ ἰδοῦσα λέγει πρὸς
the arms they-search-through the(-one) but having-seen tells to
ἄλλην, καὶ καλοῦσιν ἀλλήλας ὥσπερ οἱ Κίκονες· αἱ δὲ
another and they-call one-another as the Cicones they but
συμφοιτῶσιν ἐπὶ τὴν θέαν, κἀπὶ τούτῳ δωροφοροῦσιν. ἡμῖν
come-together to the sight and-for this bring-gifts to-us
δὲ ἦν τι καὶ τῶν ἐκ τοῦ Πόντου θεραπαινίδιον,
but there-was some also of-the(-ones) from — Pontus little-maidservant
ὃ συνελθοῦσαι τέχνη καὶ φύσις ὑπὲρ τοὺς μύρμηκας
which having-come-together art and nature above the ants
ἔντομον ἔδειξαν. ἀμφὶ τοῦτο ἦν ἅπασα σπουδή, καὶ τοῦτο
insect showed around this was all zeal and this
παρὰ τῶν γυναικῶν ἐνεπορεύετο, καὶ μετεπέμποντο αὐτὸ
by the women was-trafficked and sent-for it
πρότριτα ἄλλη παρ' ἄλλης γυναῖκες τῶν ἀγρογειτόνων
three-days-ahead one from another women of-the country-neighbors
εὐδαίμονες· τὸ δὲ οὕτω τι σφόδρα ἰταμὸν ἦν ὥστε
fortunate the(-girl) but so something very bold was so-that
καὶ ἀποδύσασθαι. τοῦτό σοι δρᾶμα ἐκ τραγικοῦ κωμικὸν
even to-strip this to-you drama from tragic comic
ὅ τε δαίμων ἡμῖν ἐνήρμοσε κἀγὼ τοῖς πρὸς σὲ γράμμασι.
the both spirit for-us fitted-together and-I in-the to you letters
καὶ οἶδα μὲν ἐκτείνας τὴν ἐπιστολὴν εἰς μῆκος τοῦ
and I-know indeed having-stretched the letter to length than-the
μετρίου μεῖζον, ἀλλ' ὥσπερ τοῦ συνεῖναί σοι κατὰ
moderate greater but as of-the to-be-with you face-to
πρόσωπον, οὕτω καὶ τοῦ γράφειν ἀπλήστως ἔχω· ἅμα
face so also of-the to-write insatiably I-am at-once

δὲ οὐδὲ ἐλπίσας ἔτι σοι διαλέξεσθαι, νῦν ἐπειδὴ
but not-even having-hoped any-longer with-you to-converse now since
ἐξόν, ἐμφοροῦμαι. ἀλλὰ κἂν ταῖς ἐφημερίσι, περὶ ἃς
it-is-possible I-take-my-fill but also to-the diaries about which
ἐσπούδακα, τὴν ἐπιστολὴν ἐναρμόσας ὡς συχνῶν ἡμερῶν
I-have-been-zealous the letter having-fitted as of-many days
ἔχοιμ' ἂν ὑπομνήματα. ἔρρωσο, καὶ τὸν υἱὸν Διόσκορον
I-would-have — memoranda farewell and the son Dioscorus
κέλευε μετὰ τῆς μητρὸς καὶ τῆς τήθης, ἃς ἐγὼ καὶ
bid with the mother and the grandmother whom I both
φιλῶ καὶ ἐν ἀδελφαῖς ἄγω. ἄσπασαι τὴν θεοφιλεστάτην
love and among sisters hold greet the most-god-beloved
καὶ σεβασμιωτάτην φιλόσοφον, καὶ τὸν εὐδαίμονα χορὸν
and most-venerable philosopher and the fortunate chorus
τὸν ἀπολαύοντα τῆς θεσπεσίας αὐδῆς, ἐκ πάντων δὲ
the(-one) enjoying the divine voice from all but
μάλιστα τὸν ἱερώτατον πατέρα Θεότεκνον καὶ τὸν ἑταῖρον
especially the most-holy father Theotecnus and the companion
ἡμῶν Ἀθανάσιον. τὸν δὲ ὁμοψυχότατον ἡμῖν Γάιον εὖ οἶδ'
our Athanasius the but most-like-souled to-us Gaius well I-know
ὅτι φρονῶν ὅσα ἐγὼ μετὰ τῶν συγγενῶν τάττεις. μετ'
that minding as-many-as I with the kinsmen you-rank with
ἐκείνων οὖν προσειρήσθω καὶ ὁ θαυμάσιος γραμματικὸς
those then let-be-greeted also the admirable grammarian
Θεοδόσιος, ὃς εἰ καὶ μάντις ὢν ἔκρυπτεν ἡμᾶς (προγνοὺς
Theodosius who if even prophet being hid-it-from us having-foreknown
γὰρ ἐν οἷς ἐσόμεθα, κατέβαλε τὴν προθυμίαν τῆς σὺν
for in what-things we-shall-be he-threw-down the eagerness of-the with
ἡμῖν ἀποδημίας), ἀλλ' οὖν ἔγωγε αὐτὸν καὶ φιλῶ καὶ
us journey but nevertheless I-for-my-part him both love and

ἀσπάζομαι. σὺ δὲ μηδέποτε πλεύσειας. εἰ δέ ποτε πάντως
embrace you but never may-you-sail if but ever altogether
δεήσει, ἀλλὰ μή τι φθίνοντός γε μηνός.
it-shall-be-needful but not in-any-way waning at-least of-month

LETTERS 5–22

He warns the presbyters against Eunomian heretics trading on Quintianus's power at court, and tells them his priesthood came by God's will, not theirs. He wishes Theophilus a long old age, greets Hypatia and her circle, asks her to have a hydroscope made, and from his sickbed calls her mother, sister, and teacher, grieving for his dead sons. He bids Cyril return to the church, sends word of the date of Easter, complains to Anysius of Carnas, a horse thief who later sought his protection, and commends Theodorus's kinsman, a councilor of Alexandria. He rejoices that the emperor has made Anastasius's children his by law.

5

Τοῖς πρεσβυτέροις

to-the presbyters

Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον ἢ πεποιθέναι ἐπ᾽ ἄνθρωπον.
better to-trust in lord than to-trust in man
ἀλλὰ τοὺς ἐκ τῆς ἀθεωτάτης αἱρέσεως Εὐνομίου
but the(-ones) from the most-godless heresy of-Eunomius
πυνθάνομαι, Κυντιανὸν ὄνομα καὶ τὴν ἐπὶ στρατοπέδου
I-learn Quintianus by-name and the in camp
θρυλουμένην ὑπ᾽ αὐτῶν δυναστείαν προστησαμένους, μοιχᾶν
being-vaunted by them power having-put-forward to-adulterate
πάλιν τὴν ἐκκλησίαν καὶ ψευδοδιδασκάλους τινὰς ἐφιστάναι
again the church and false-teachers some to-set-up
παγίδα ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς, οὓς ἔναγχος οἱ
snare for-the of-the more-guileless souls whom lately the(-ones)

παρὰ Κυντιανοῦ σταλέντες ἐπ᾽ αὐτὸ τοῦτο καταπεπλεύκασιν
from Quintianus having-been-sent for it this have-sailed-down
ἄγοντες. ἡ γὰρ δίκη πρόσχημα τῆς ἀσεβείας ἐστί, μᾶλλον
bringing the for lawsuit pretext of-the impiety is rather
δὲ ἀγὼν ὑπὲρ ἀσεβείας. οὗτοι τοίνυν οἱ νόθοι πρεσβύτεροι,
but contest for impiety these therefore the bastard presbyters
οἱ νεήλυδες ἀπόστολοι τοῦ διαβόλου τε καὶ Κυντιανοῦ,
the newcome apostles of-the devil both and of-Quintianus
μὴ λάθωσιν ὑμᾶς ἐμπηδήσαντες ᾧ ποιμαίνετε ποιμνίῳ,
lest they-escape-notice you having-leapt-into which you-shepherd flock
μὴ λάθωσιν ὑμᾶς τῷ σίτῳ τὸ ζιζάνιον παρασπείροντες.
lest they-escape-notice you in-the wheat the tares sowing-beside
κατάδηλοι πᾶσίν εἰσιν αἱ τούτων καταφυγαί. ἴστε τίνες
evident to-all are the of-these refuges you-know what
ἀγροὶ δέξαιντ᾽ ἂν αὐτούς, ἴστε τίνες οἰκίαι τοῖς λῃσταῖς
fields would-receive — them you-know what houses to-the robbers
ἀνεῴγασι. μετέλθετε τοὺς φῶρας ῥινηλατοῦντες, ζηλωταὶ
have-opened pursue the thieves tracking-by-scent zealots
γένεσθε τῆς εὐλογίας τῆς Μωσαϊκῆς, ἣν εὐλόγησε τοὺς
become of-the blessing the Mosaic with-which he-blessed the
ἄνδρας, οἳ κατὰ τῶν ἠσεβηκότων ἐν τῇ παρεμβολῇ
men who against the(-ones) having-acted-impiously in the camp
καὶ γνώμην καὶ χεῖρας ἐκίνησαν. ἐκεῖνο δὲ εἰπεῖν ἄξιον
both judgment and hands moved that but to-say worthy
πρὸς ὑμᾶς, ἀδελφοί. τὰ καλὰ καλῶς γινέσθω, ἡ ὑπὲρ
to you brothers the good-things well let-be-done the for
κέρδους ἔρις ἀνῃρήσθω, ἅπαντα διὰ τὸν θεὸν ἐγχειρείσθω.
gain strife let-be-done-away all-things for — god let-be-undertaken
οὐ δεῖ τὴν αὐτὴν ἀρετῆς εἶναι καὶ πονηρίας ὑπόθεσιν.
not it-is-needful the same of-virtue to-be and of-wickedness basis
ὑπὲρ εὐσεβείας ὁ δρόμος, ὑπὲρ ψυχῶν ἀγωνιστέον, μή

τινας ἀπὸ τῆς ἐκκλησίας συλήσωσιν, ὅπερ ἔθος ἤδη
some from the church they-plunder which custom already
πεποίηνται. ὃς δ᾽ ἂν τὴν ἐκκλησίαν προστησάμενος αὔξῃ
they-have-made who but — the church having-put-forward increase
βαλάντιον, καὶ διὰ τοῦ δοκεῖν εἶναι χρήσιμος ἐν καιροῖς
purse and through the to-seem to-be useful in times
ἀπαιτοῦσι δριμύτητα δυναστείαν ἑαυτῷ κατεργάζηται,
demanding sharpness power for-himself work-out
οὗτός ἐστιν ὃν ἡμεῖς συνόδου Χριστιανῶν ἐκκηρύττομεν.
this-one is whom we from-the-synod of-Christians proclaim-banished
οὐκ ἐποίησεν ὁ θεὸς ἀτελῆ τὴν ἀρετήν, οὐ δεῖται πονηρίας
not made — god imperfect the virtue not needs of-wickedness
συμμάχου, οὐκ ἐπιλείψουσι στρατιῶται τῷ θεῷ πρέποντες
ally not will-fail soldiers — to-god befitting
ἐκκλησίαις· εὑρήσει συμμάχους ἐνταῦθα μὲν ἀμίσθους,
for-churches he-will-find allies here indeed unpaid
ἐν οὐρανῷ δὲ ἐντελομίσθους. ὑμεῖς οὗτοι γίνεσθε· καλὸν
in heaven but fully-paid you these become good
μὲν γὰρ καὶ κατορθοῦσι συνεύξασθαι, καλὸν δὲ καὶ
indeed for both for-those-succeeding to-pray-with good but also
παραβαίνουσιν ἐπαράσασθαι. ὅστις ἂν οὖν μαλακίσηται
for-those-transgressing to-curse whoever — then be-weak
καὶ προδῷ, καὶ ὅστις ἂν ἐπεξέλθῃ μὲν ἁρπάσῃ δέ τι
and betray and whoever — prosecute indeed seize but anything
τῶν ἀλλοτρίων, μὴ ἀναίτιος γένοιτο τῷ θεῷ. ἓν τοῦτο
of-the others' not guiltless may-be-be — to-god one this
μόνον εἰς μέσον ἑλκύσατε, καὶ τοὺς τραπεζίτας τοὺς
only into middle drag and the bankers the
πονηροὺς τοὺς καθάπερ νόμισμα τὸ δόγμα τὸ θεῖον
wicked the(-ones) as coin the doctrine the divine
παραχαράττοντας περιενέγκατε· πᾶσι ποιήσατε καταφανεῖς
counterfeiting carry-around to-all make evident

οἵτινές εἰσι. κᾆθ' οὕτως ἄτιμοι τῶν Πτολεμαΐδος
who they-are and-then so dishonored from-the of-Ptolemais
ὅρων ἀπεληλάσθωσαν, ὅ τι σὺν αὐτοῖς ἥκει χρῆμα πᾶν
bounds let-them-be-driven-out what ever with them comes property all
ἀμειαγώγητον ἀποφέροντες. ὁ δὲ παρὰ ταῦτα ποιῶν
untransferred carrying-off the(-one) but against these-things doing
ἐπάρατος τῷ θεῷ. ὅστις ἀσεβῆ σύνοδον ἰδὼν παρεῖδεν
accursed — to-god whoever impious synod having-seen overlooked
ἢ ἀκούσας παρήκουσεν ἢ κέρδει παρ' αὐτῶν ἐμολύνατο,
or having-heard disregarded or by-gain from them was-defiled
τούτους ἡμεῖς Ἀμαληκίτας εἶναι διαταττόμεθα, παρ' ὧν
these we Amalekites to-be ordain from whom
οὐκ ἔξεστι κομίσασθαι λάφυρον. περὶ δὲ τοῦ λαβόντος
not it-is-lawful to-carry-off spoil about but the(-one) having-taken
φησὶν ὁ θεὸς μεταμέλημαι ὅτι ἐβασίλευσα τὸν Σαούλ.
says — god I-have-repented that I-made-king — Saul
ἀλλ' ὑμῶν ἐπὶ μηδενὶ μεταμέλοιτο, ἀλλὰ μέλοι μὲν
but over-you on nothing may-it-repent but may-there-be-care indeed
ὑμῶν τῷ θεῷ, μέλοι δὲ ὑμῖν τοῦ θεοῦ.
for-you — to-god may-there-be-care but to-you — for-god

6

Ἀνυσίῳ

to-Anysius

Ὁ δὲ Καρνᾶς ἔτι μέλλει, καὶ οὔθ' ἑκὼν οὔθ' ὑπ'
— but Carnas still delays and neither willing nor by
ἀνάγκης γίνεται δίκαιος. χρὴ δὲ ἥκειν αὐτὸν ὡς ἡμᾶς
necessity becomes just it-is-needful but to-come him to us
ἵν' εἰδῶμεν ὅ τι καὶ λέγει, καὶ οἵστισιν ὀφθαλμοῖς
that we-may-know what ever also he-says and with-what eyes

ἡμᾶς ἀντιβλέψεται, παρ᾽ ὧν ἠξίωσε καὶ ἀκόντων ὃν
us he-will-look-at from whom he-thought-fit even unwilling which
κέκλοφεν ἵππον ὠνήσασθαι, ἵνα μὴ στρατιώτης, φησίν,
he-has-stolen horse to-buy that not soldier he-says
ἄνιππος ᾖ. προτείνει δὲ κομιδῇ σμικρὸν ἀργυρίδιον καὶ
horseless he-be he-offers but altogether small little-silver and
μὴ ἀποδομένοις οὐκ ἀποδίδωσιν, ἀλλ᾽ οἴεται σὺν δίκῃ τὸν
not to-those-having-sold not he-gives-back but thinks with justice the
ἵππον ἔχειν, καὶ ταῦτα οὐκ ὢν Ἀγαθοκλῆς ἢ Διονύσιος,
horse to-have and that not being Agathocles or Dionysius
οἷς αἱ τυραννίδες ἐπέτρεπον οὕτω πάνυ πονηροῖς
to-whom the tyrannies permitted so very wicked
εἶναι, ἀλλὰ Καρνᾶς ὁ Καπφαροδίτης, ὃν οὐ χαλεπὸν
to-be but Carnas the Kapharodite whom not hard
ἐπαναγαγεῖν εἰς τοὺς νόμους. ἂν οὖν διαγάγῃ τις
to-bring-back to the laws if then bring anyone
αὐτὸν ὡς σέ, μηδὲ ἡμεῖς ἀγνοήσωμεν, ἵνα τοὺς κατὰ
him to you not-even we may-be-ignorant that the(-ones) to
πρόσωπον ἐξελέγξοντας αὐτὸν ἀπὸ Κυρήνης καλέσωμεν.
face going-to-convict him from Cyrene we-may-summon

7

Θεοδώρῳ καὶ τῇ ἀδελφῇ

to-Theodorus and to-the sister

Πῶς δοκεῖτε δέδηγμαι τὴν καρδίαν ἐκδεδομένου λόγου
how do-you-think I-have-been-bitten in-the heart having-been-spread report
κατὰ τὴν πόλιν ὅτι δεινῇ τινὶ καὶ πέρα δεινῆς ὀφθαλμίᾳ
throughout the city that terrible some and beyond terrible ophthalmia
παλαίεις, ἀπειλούσῃ ταῖς ὄψεσι κίνδυνον; ἔπειτα πέφηνεν
you-wrestle-with threatening to-the eyes danger then has-appeared

ὁ λόγος ψευδής, καὶ οἶμαί τις παμπόνηρος ἄνθρωπος
the report false and I-think some utterly-wicked man
προφάσεως εἰλημμένος τοῦ τῆς ὀφθαλμίας ὀνόματος ἦρεν
having-been-destroyed before into the nature to-return because the affection
αὐτοῖς γέγονε φύσις ἢ διὰ χρόνου πλῆθος ἢ διὰ
for-them has-become nature either through of-time quantity or through
μέγεθος. οὕτω δὲ ἐχούσῃ ψυχῇ καλῶς ἂν εἶχεν εἶναι
magnitude so but being-disposed for-soul well — it-would-be to-be
φθαρτῇ. νῦν δὲ τὰ μὲν ἁμαρτήματα λόγον ἔχει πρὸς τὰς
perishable now but the indeed sins ratio have to the
ἀνεκπλύτους κηλῖδας, ἡ ψυχὴ δὲ οὐκέτι πρὸς θοἰμάτιον
unwashable stains the soul but no-longer to the-garment
ἐκεῖνο τὸ πιναρόν τε καὶ οὐκ ἀντέχον, ἀλλ᾽ ἀθάνατος
that the filthy both and not holding-out but immortal
οὖσα τίνει δίκην ἀθάνατον, ὅταν ἁμάρτῃ δευσοποιά τε καὶ
being pays penalty immortal when it-sins with-fast-dye both and
ἀναπόνιπτα. ἀλλ᾽ ἐν ᾧ γάρ τις ἥμαρτε βίῳ δίκας διδούς,
unwashable but in which for one sinned life penalties paying
οὔπω πάνυ προστετηκὸς ἔχει καὶ προσιζῆσαν τὸ πάθος,
not-yet very having-stuck-fast it-has and having-settled the affection
ἀλλ᾽, ὡς ἂν εἴποι τις, ἀρτιβαφὴς οὖσα ψυχὴ τάχιστα
but as — would-say someone newly-dyed being soul fastest
πλύνεται. διὸ δοτέον ἐστὶν ὡς ἔνι διὰ τάχους τὴν
is-washed wherefore must-be-paid it-is as possible with speed the
δίκην, καὶ τιμωροῖς ἀνθρώποις, ἀλλὰ μὴ δαίμοσι. λέγεται
penalty and to-avenging men but not to-spirits is-told
δέ τις λόγος, ὅς με πείθει τοὺς ἠδικημένους κυρίους
but some account which me persuades the(-ones) having-been-wronged masters
εἶναι μακροτέρας τε ποιεῖν καὶ ἐπιτέμνειν τὰς τιμωρίας.
to-be longer both to-make and to-cut-short the punishments
διὸ παραπλήσιόν ἐστιν ἕνα κακόν τι μέγα ἐργάσασθαι
wherefore similar it-is one evil some great to-work

καὶ πολλοὺς κατὰ μικρὰν ἀδικῆσαι· ἐπέξεισι γὰρ ἕκαστος
and many by little to-wrong prosecutes for each
ἐν τῷ μέρει, καὶ δεῖ πᾶσιν ὑπηρετῆσαι τὴν δίκην.
in the turn and it-is-needful to-all to-serve the penalty
ὅταν δέ τις ἰάσιμος ᾖ, μέγα παρὰ τῷ δικαστῇ δύναται
when but someone curable be great with the judge avails
τὸ τοσαῦτα προπεπονθέναι τὴν ψυχήν, ὡς ἤδη παρ᾽
the so-many-things to-have-suffered-beforehand the soul as already from
αὐτῶν τῶν ἠδικημένων ἔλεον εὑρέσθαι. πότε τοίνυν εἰκός
themselves the having-been-wronged pity to-find when therefore likely
ἐστι τῆς μακαρίτιδος Αἰμιλίου ψυχῆς συγγνωμονεστέρας
is of-the late of-Aemilius soul more-forgiving
τυχεῖν; ἐγὼ μὲν οὖν οἶμαι, μᾶλλον δὲ οἶδα σαφῶς, ὡς
to-obtain I indeed then think rather but I-know clearly that
ἅπας ἱκέτης αἰδέσιμος, ὅστις ἑαυτὸν τετιμώρηται. καί
every suppliant venerable whoever himself has-punished and
τις ἤδη παρ᾽ ἡμῖν εἰς ἀπολογίαν ὑπὲρ ἁμαρτήματος
someone already among us into defense for sin
καταστὰς αὐτῷ τῷ φθάσαι τὴν αἰτίαν ὁμολογῆσαι καὶ
having-stood by-it the to-anticipate the charge to-confess and
φῆσαι κολάσεως ἄξιος εἶναι, τὴν κόλασιν ἐξεωνήσατο. τὸ
to-say of-punishment worthy to-be the punishment bought-off the
δὲ ἐνευωχηθῆναι τοῖς δι᾽ ἅ τις ἠδίκησεν, εἴτε
but to-have-feasted on-the(-things) for which anyone did-wrong whether
χρήμασιν εἴτε σώμασι, βαρυθυμότερον τὸν ἠδικημένον
with-money or with-bodies more-heavy-of-heart the having-been-wronged
καθίστησι. καὶ τίς ἂν γένοιο τοῦ σώματος ἐξελθών,
makes and what — would-you-become from-the body having-gone-out
εἴθ᾽ ὑπὸ βιαίας δίκης εἴτε ἕτερον τρόπον, κἄπειτα αὐτὴν
whether by violent justice or other way and-then itself
τὴν ψυχὴν αὐτῇ τῇ ψυχῇ θεασάμενος, οὐκ οὔσης ἀρνεῖσθαί
the soul by-itself the soul having-beheld not being to-deny

σοι γλώττης ἀλλ᾽ ἐγκεκολαμμένον ἔχων τοὐπίσημον
for-you tongue but having-been-engraved having the-mark
τὸ τῆς πράξεως; οὐκ ἰλιγγιάσεις; οὐκ ἀπορήσεις;
the of-the deed not will-you-be-dizzy not will-you-be-at-a-loss
ἕλξῃ σιγῶν καὶ ἐκκείσῃ τῇ δίκῃ, καὶ σὺ κἀγὼ
you-will-be-dragged being-silent and will-be-exposed to-the justice both you and-I
καὶ πᾶς ὃν οὐ προκαθαίρει δημοσιευθεῖσα μετάνοια. ἀλλ᾽
and every-one whom not purifies-beforehand having-been-published repentance but
ἀνδριστέον, ὦ γενναῖε, γενναῖος γὰρ εἴης, καὶ τῶν μὲν
one-must-be-brave O noble-one noble for may-you-be and the indeed
ἡδονῶν ὑπεροπτέον ἃς ἀδικοῦντες ἐπορισάμεθα· τοὺς δὲ
pleasures one-must-disdain which doing-wrong we-procured the but
ἀνθρώπους οὐκ αἰσχυντέον, ἀλλὰ τῷ δικαστῇ μὲν
men not one-must-be-ashamed-before but to-the judge indeed
ὁμολογητέον τὴν πρᾶξιν, ἐξιλαστέον δὲ τῇ παραυτίκα
one-must-confess the deed one-must-propitiate but by-the immediate
τίσει τὰς κάτω ποινάς. μεγίστου γὰρ ὄντος ἀγαθοῦ τοῦ μὴ
payment the below punishments greatest for being good the not
ἁμαρτεῖν, δεύτερον ἀγαθὸν τὸ δικαιωθῆναι. ὅστις δὲ χρόνον
to-sin second good the to-be-justly-punished whoever but time
πολὺν ἀδικῶν ἀκόλαστος μένει, τοῦτον δεῖ νομίζειν
long doing-wrong unpunished remains this-one it-is-needful to-think
τὸν ἀτυχέστατον, οὗ μήτε θεὸς μήτ᾽ ἄνθρωπος κήδεται.
the most-unfortunate for-whom neither god nor man cares
σκόπει γὰρ καὶ ταύτῃ. τὸ ἀκόλαστον εἶναι πρὸς κακοῦ καὶ
consider for also in-this-way the unpunished to-be in evil both
λέγεται καὶ ἀκούεται. οὐκοῦν τὸ κεκολάσθαι πρὸς ἀγαθοῦ·
is-said and is-heard therefore the to-have-been-punished in good
τῷ γὰρ ἐναντίῳ τὸ ἐναντίον ὁ λόγος νέμει. εἰ μὲν οὖν
to-the for opposite the opposite the reason assigns if indeed then
ἐγὼ παρὼν ἐτύγχανον, οὐδὲν ἂν ἔδει σε πρᾶγμα σχεῖν
I present happened-to-be no — there-was-need you trouble to-have

ἀπερυθριῶντα καὶ σαυτὸν καταγγέλλοντα, ἀλλ᾽ ἐμαυτὸν
blushing-not and yourself denouncing but myself
ἂν ἔταξα συνηγορήσοντά σοι, καὶ προσήγαγον ἄν
— I-would-have-stationed going-to-plead-for you and would-have-brought —
σε καθάπερ ἰατροῖς τοῖς νόμοις. ἀνόητος μὲν γὰρ ἄν
you as to-physicians to-the laws senseless indeed for —
τις εἶπεν ὡς Συνέσιος Ἰωάννου κατηγορεῖ, σὺ δ᾽
anyone would-have-said that Synesius John accuses you but
ἂν ἠπίστασο τἀληθὲς ὅτι φειδοῖ καὶ κηδεμονίᾳ τῇ
— would-have-known the-truth that from-sparing and care the
σῇ τὴν κατηγορίαν εἱλόμην, ἵν᾽ ὡς ἐν κακοῖς ἄμεινον
your the accusation I-chose that as in evils better
πράξειας. ἀλλὰ ταῦτα μέν, εἰ τἀδίκημα γέγονεν, ὃ μὴ
you-might-fare but these-things indeed if the-wrong has-happened which not
γένοιτο σοῦ τε ἕνεκα καὶ τῆς πόλεως· ἅπασα γὰρ
may-it-happen of-you both for-the-sake and of-the city all for
ἂν εἴη μιαρὰ τῷ φόνῳ, τολμηθέντος αἵματος ὁμογνίου.
— would-be polluted by-the murder having-been-dared blood kindred
εἰ δὲ σὺ καθαρὸς καὶ χεῖρα καὶ γνώμην (εἴη δὲ
if but you pure both in-hand and in-mind may-it-be but
οὕτως), ἐπάρατοι μὲν οἱ ταῦτα συνθέντες ἐπὶ σοί,
so accursed indeed the(-ones) these-things having-composed against you
κἀκείνους δὲ περιμένει τὰ κατὰ γῆς κολαστήρια, ὡς οὐχ
those-too but awaits the under earth places-of-punishment as not
ἕτερος οὕτω τρόπος θεομισὴς ὡς ὁ λογοποιὸς ὁ
other so manner god-hated as the story-maker the(-one)
τιτρώσκων ἐξ ἀφανοῦς· ἀγεννέστατος γὰρ ὢν μέγιστα
wounding from hidden most-ignoble for being greatest
κακὰ διαπράττεται, καὶ λέγεταί τις αὐτοῖς μοῖρα κιναίδων
evils he-accomplishes and is-said some to-them portion of-catamites
προσκεῖσθαι, καὶ τῶν ἐν τῇ τέχνῃ τοῦτ᾽ εἶναι τὸ
to-be-attached and of-the(-ones) in the art this to-be the

κράτιστον, ἐπεὶ καὶ πρὸς ἄλλα πολλὰ σοφισταὶ γίνονται
strongest since also for other many-things sophists they-become
καὶ εὐμήχανοι. ὥστε ἄν τις ἁλῷ φήμας ἐπὶ τοῖς
and inventive so-that if anyone be-caught rumors about the(-things)
οὐκ οὖσι ποιῶν, τοῦτο ἐκεῖνο, μὴ ἐπανέρῃ μηδὲ διστάσῃς,
not being making this that not inquire nor hesitate
ἀλλὰ κἂν στερεώτατος εἶναι δοκῇ, θαρρῶν ἀποφαίνου τὸν
but even-if most-solid to-be he-seem confidently declare the
ἄνδρα ἡμίγυνον, αὐτόχρημα θιασώτην τῆς Κότυος. σοὶ δὲ
man half-woman very votary — of-Cotys to-you but
ἔξεστιν ἀπὸ τῶν λόγων τούτων ἀποφῆναι συκοφαντοῦσαν
it-is-possible from the words these to-declare slandering
τὴν δόξαν, εἰ σαυτόν τε καὶ τοὺς σοὺς ἐπιδοίης
the report if yourself both and the yours you-should-give-up
τῇ δίκῃ. εἰπὲ γὰρ εἰσελθὼν ὡς Ἐμοῦ κατήγοροί
to-the justice say for having-entered that of-me accusers
τινές εἰσιν ἀφανεῖς, οἳ προκατεγνωκότες αὐτῶν ἀξιοῦσι
some are hidden who having-condemned-beforehand themselves think-fit
λανθάνειν, κατηγοροῦσι δὲ ὅμως πολλὰ καὶ χαλεπά,
to-escape-notice they-accuse but nevertheless many-things and hard
καὶ κινδυνεύουσι πείθειν ἐνίους· οὕτως εἰσὶν ἐπίβουλοι καὶ
and they-risk to-persuade some so are plotting and
δεινοὶ παραδοῦναι λόγον τῇ φήμῃ. κᾆτα διεξελθὼν
terrible to-hand-over word to-the rumor and-then having-gone-through
τὰς αἰτίας ἐφ᾽ αἷς ἀκούεις κακῶς, γάμον καὶ φόνον
the charges on which you-are-spoken-of ill marriage and murder
ἀνόσιον, ἐπειδὴ σπάταλον οἶμαί τινά φασι ὑπὸ σοῦ κάθετον
unholy since profligate I-think some they-say by you agent
ἐξειργάσθαι τὸν φόνον, τοῦτον ἅμα προσάγων δεήθητι
to-have-worked-out the murder this-one at-once bringing beg
τοῦ δικαστηρίου λιπαρῶν καὶ προσπίπτων μὴ ἀνεξέταστος
the court entreating and falling-before not unexamined

ἀπελθεῖν μηδὲ ἐρήμην ἁλῶναι. οὐ γὰρ δή, κράτιστε
to-depart nor by-default to-be-convicted not for indeed most-mighty
τῶν ἡγεμόνων, ἐρεῖς, διότι γραφὴν εἰς τοὐμφανὲς οὐδεὶς
of-the governors you-will-say because indictment into the-open no-one
ἀπηνέγκατο, παρὰ τοῦτό σε δεῖ ποιήσασθαι τὸ μὴ
brought for this you it-is-needful to-make the not
διὰ πάσης ἐλθεῖν βασάνου, μετιόντα καὶ θηρώμενον τὴν
through every to-go torture pursuing and hunting the
ἀλήθειαν. ὁ βεβοημένος σπάταλός ἐστιν οὗτος. ἔχεις
truth the having-been-noised-abroad profligate is this-one you-have
τὸν ἄνδρα· χρῶ τῷ σώματι. τοῦτον, εἴ τι γέγονε,
the man use the body this-one if anything has-happened
τήμερον ἀναφανῆναί γε δεῖ κατήγορον αὑτοῦ τε
today to-appear indeed it-is-needful accuser of-himself both
κἀμοῦ. κἂν μὲν οὕτω σοῦ λέγοντος μὴ πείθηταί σοι,
and-of-me and-if indeed so you saying not he-be-persuaded by-you
καὶ τοῦθ' ἅλις ἔχει πρός γε ἡμᾶς τοὺς ἀνθρώπους·
also this enough is to at-least us the men
εἰ δὲ φιλάνθρωπός τε εἴη καὶ χαρίσαιτό σοι τὴν
if but humane both he-be and should-grant you the
περὶ τούτων ἀκρόασιν, ἅπαν ἐνταῦθά ἐστι τὸ λαμπρῶς
about these hearing all here is the brilliantly
ἀπολογήσασθαι καὶ τοὺς λογοποιοὺς καταισχῦναί τε καὶ
to-defend-oneself and the story-makers to-shame both and
κατασιγάσαι. τὸν γὰρ δὴ σπάταλον τοῦτον οὐ δεήσει
to-silence the for indeed profligate this-one not it-will-be-needful
τρυφᾶν, ἀλλὰ καὶ δεδήσεται καὶ κρεμήσεται καὶ τὼ
to-live-luxuriously but both he-will-be-bound and will-be-hung and the
πλευρὼ διορυγήσεται· δεινοὶ γὰρ ἐξελέγξαι προσποίησιν
two-sides will-be-dug-through terrible for to-expose pretense
οἱ βασανισταί, καί τινες αὐτοῖς ὄνυχές εἰσιν ἐξηυρημένοι,
the torturers and some to-them nails are having-been-invented

συλλογισμῶν ἐπιστημονικῶν ἔχοντες δύναμιν, ὥσθ' ὅ τι
of-syllogisms scientific having power so-that what ever
ἂν ἐκείνων κρατούντων ἀναφανῇ, τοῦτ' ἔστιν αὐτὸ τἀληθές.
— those prevailing appear this is itself the-truth
ἂν οὕτως ἀπολυθῇς μηδὲν ἀδικῶν, ἄπει τοῦ
if so you-be-acquitted nothing doing-wrong you-will-go-away from-the
δικαστηρίου νενικηκὼς καὶ γαῦρος, εὐαγὴς ὤν τε καὶ
court having-conquered and proud pure being both and
δοκῶν. εἰ δὲ ἐγὼ μὲν εἰσηγησάμην ἅττα σοι λυσιτελεῖν
seeming if but I indeed proposed what-things to-you to-profit
οἶμαι, σὺ δὲ οὐ ποιήσεις οὐδὲ πρὸς τὸν δικαστὴν πρόσει,
I-think you but not will-do nor to the judge will-go
τὸ μὲν ἀληθὲς εἶδέ τε καὶ οἶδεν ἡ Δίκη. πάντως ὁ διὰ
the indeed truth saw both and knows — Justice altogether the through
πάντων ἥκων ὀφθαλμὸς τῆς θεᾶς καὶ Λιβύην ἑώρα καὶ
all coming eye of-the goddess also Libya saw and
φάραγγα ἐκείνην καὶ θροῦν ἐκεῖνον, εἴτε τὸν ὄντα
ravine that and clamor that whether the(-clamor) being
εἴτε τὸν ἐπιποίητον, καὶ τὸν Αἰμιλίου δρόμον καὶ ὅ
or the(-clamor) feigned and the of-Aemilius running and what
τι πέπονθε καὶ ὑφ' οὗ καὶ ὅ τι εἶπε καὶ ὅ τι
ever he-suffered and by whom and what ever he-said and what ever
ἤκουσεν, εἰ δή τι καὶ εἶπε καὶ ἤκουσε. καὶ οἶδεν ὅτι
he-heard if indeed anything both he-said and he-heard and she-knows that
εἰ καὶ τύχοις μὲν ἀναίτιος σὺ καὶ καθαρὸς τῷ θεῷ,
if even you-should-happen indeed guiltless you and pure — to-god
μήτε πράξας μήτε βουλεύσας ἔργον ἐξάγιστον, ἀλλ' ἡμῖν
neither having-done nor having-planned deed abominable but to-us
γε τοῖς ἀνθρώποις οὔπω καθαρός, ἕως ἂν ἀναπολόγητος
at-least the men not-yet pure until — undefended
ᾖς. οὐδὲ ἐμβαλοῦμέν σοι δεξιάν, οὐδὲ ἀπὸ τῆς αὐτῆς
you-be not-even shall-we-put to-you right-hand nor from the same

σιτησόμεθα· τοὺς Αἰμιλίου γὰρ ἀλάστορας δέδμεν, εἰ
will-we-eat the of-Aemilius for avengers we-fear lest
θιγγάνων ἡμῶν ἐναπομόρξῃ τὴν προστροπήν. εἰσὶ καὶ
touching us you-wipe-off the pollution there-are also
ἡμῖν οἰκεῖαι κηλῖδες· οὐ δεῖ καὶ προσερανίζεσθαι.
for-us own stains not it-is-needful also to-contribute-more

45

Ὀλυμπίῳ

to-Olympius

Λυποῦσι τὴν ἐκκλησίαν ἀλλότριοι πονηροί. διάβηθι κατ᾽
grieve the church foreign wicked-men cross-over against
αὐτῶν· οἱ πάτταλοι γὰρ παττάλοις ἐκκρούονται.
them the pegs for by-pegs are-knocked-out

46

Ἀναστασίῳ

to-Anastasius

Οὐδὲ Ἄμασις μὲν καλός, φυλαξάμενος ἐπιδακρῦσαι τοῦ
not-even Amasis indeed fine having-guarded-against to-weep-over —
Πολυκράτους ταῖς συμφοραῖς, ἃς ἐσομένας προείδετο, ἀλλ᾽
of-Polycrates at-the misfortunes which going-to-be he-foresaw but
οἷς εὐτυχοῦντι κήρυκα πέμψας τὴν φιλίαν ἀπείπατο,
by-which to-him-prospering herald having-sent the friendship he-renounced
δῆλον ἐποίησεν ὅτι κἂν ἐδάκρυσεν, εἰ προύλαβεν ἡ
clear he-made that even he-would-have-wept if had-anticipated the
συμφορὰ τὴν ἀπόρρησιν. σὺ δὲ ἡμῖν ἕως μὲν οὐ
misfortune the renunciation you but to-us as-long-as indeed not

προσεκόπτομεν τῇ τύχῃ συνέμεινας, ἔπειτα συναπῆρας
we-stumbled on-the fortune stayed-with then sailed-away-with
αὐτῇ· λέγει γὰρ ἡ φήμη διὰ τῶν ἀπὸ Θρᾴκης ἡκόντων
it says for the rumor through the(-ones) from Thrace having-come
οὐδὲν οὔτε φρονεῖν σε περὶ ἡμῶν οὔτε λέγειν ἐπιεικές.
nothing either to-think you about us or to-say fitting
τοῦτο μὲν οὖν οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν ἀλλ᾽ ἔχθραν
this indeed then not it-is at-all friendship to-renounce but enmity
ἀνειπεῖν, ἤρκει δέ, εἴπερ ἄρα, τὸ μὴ συνανιᾶσθαι· τὸ δὲ
to-proclaim it-sufficed but if-indeed then the not to-grieve-with the but
καὶ προσανιᾶσαι πόρρω δεινῶν καὶ οὔτε Ἀμάσιδος οὔτε
even to-grieve-besides far-beyond terrible-things and neither of-Amasis nor
ὅλως ἀνθρώπινον. ἀλλὰ σοὶ γὰρ ἴσως ὑπὲρ τῶν σεαυτοῦ
at-all human but to-you for perhaps for the of-yourself
πραγμάτων ἔσκεπται κάλλιον. ποίει τὸ ποιητέον,
affairs it-has-been-considered better do the(-thing) to-be-done
μόνον εἰ χαίρων ποιεῖς· ἥμισυ γὰρ ἂν εἴη κακόν, εἰ
only if rejoicing you-do half for — would-be evil if
καὶ οἷς πάσχω κακῶς ἡδὺς εἴην τοῖς φίλοις.
even in-what I-suffer badly pleasant I-should-be to-the friends

47

Θεοτίμῳ

to-Theotimus

Ἀρίθμει καὶ Πέτρον ὀργὴν Πενταπόλεως ἄνθρωπον οὐ
count also Peter wrath of-Pentapolis man not
τέχνῃ μετιόντα τὸ λύειν τοὺς νόμους. καίτοι καὶ τὸν
by-art pursuing the to-undo the laws and-yet also the(-one)
οὕτω μετιόντα μισῶ, καὶ ὁ θεὸς σύνοιδε καὶ ὁ Διοσκορίδης.
so pursuing I-hate and — god knows and — Dioscorides

ἀλλ᾽ οὗτός ἐστι νεανικώτερος ἐκείνου τἀνδρός· ὅτου γὰρ
but this-one is more-headstrong than-that the-man of-what-ever for
ἐπιθυμήσει χρήματος, πρῶτον ἁρπάσας καὶ ὑφ᾽ ἑαυτὸν
he-desires property first having-seized and under himself
ποιησάμενος, ἔπειτα πράττει τὴν δίκην κἂν ἁλῷ τῇ
having-made then he-pursues the lawsuit and-if he-be-convicted by-the
ψήφῳ, κρατεῖ τῇ χειρί. οὕτως ἐποίησε. πρῶτον ἥρπασε
vote he-prevails by-the hand so he-did first he-seized
κεράμιον. ἐγράψατό τις αὐτόν. ὃ μὲν ἤλεγξεν, ὃ
jar indicted someone him the(-one) indeed proved the(-other)
δὲ οὐκ ἀπέδωκεν, ἀλλὰ καὶ προσηπείλησε τοῖς δημίοις
but not gave-back but also threatened-besides the executioners
πληγάς. πρὸς ὃ νεμεσήσας ἐγὼ καὶ νομίσας οὐκ
with-blows at which having-been-indignant I and having-thought not
εἶναι βιώσιμον ὅπου τινὲς ἰδιῶται χεῖρας ἔχουσι μείζους
to-be livable where some private-men hands have greater
τῶν νόμων, παρεσκεύασα λαμπροτάτους ἄνδρας εἴξαντας
than-the laws I-prepared most-illustrious men having-yielded
ἀποφάσει βοηθῆσαι τῇ καταστάσει τῆς πολιτείας· εἰ γὰρ
to-the-sentence to-help the establishment of-the state if for
προυχώρησεν αὐτῷ, πολλοὺς ἂν ἐντὸς ὀλίγου Πέτρους
it-had-succeeded for-him many — within little Peters
ἐθεασάμεθα. ἐν ᾧ χάριν ἔχω τῷ θαυμαστῷ Μαρτυρίῳ,
we-would-have-seen in which thanks I-have to-the wonderful Martyrius
καὶ συνηγανακτηκότι μάλιστα καὶ προθυμότατα πάντων
both having-shared-indignation most and most-eagerly of-all
ὑπηρετήσαντι. ἀνθ᾽ ὧν ἀγαθὸν αὐτῷ τι γένοιτο παρὰ
having-served for which good to-him something may-come from
τοῦ θεοῦ. παρὰ δὲ Ἀνθεμίου καλῶς ἂν ἔχοι τὸ μὴ
— god from but Anthemius well — it-would-be the not
κακόν τι λαβεῖν, εἰ Πέτρος αὐτόν, ὥσπερ ἠπείλησεν,
evil anything to-receive if Peter him as he-threatened

ἀπαιτήσειεν. ἀλλ᾽ ἵνα μὴ γένηται τοῦτο, δέομαι σοῦ τε
should-demand but that not happen this I-beg of-you both
αὐτοῦ καὶ διὰ σοῦ τοῦ θαυμασίου ἀνδρὸς καὶ φιλοσόφου
yourself and through you of-the admirable man and philosopher
Τρωΐλου, κωλύσατε τὸν ἀλιτήριον ἄνθρωπον τὴν διὰ
Troilus prevent the wicked man the(-road) through
τῶν νόμων ἐπὶ τοὺς νόμους ἐλθεῖν. ἐμοὶ καὶ Πενταπόλεως
the laws against the laws to-come for-me both of-Pentapolis
μέλει καὶ τοῦ μὴ γεγονέναι φίλῳ συμφορᾶς αἴτιον·
there-is-care and of-the not to-have-become for-friend of-misfortune cause
τὸ δὲ πῶς ἂν συκοφάντης ἀνακοπείη, οὐκ ἐμὸν εὑρεῖν,
the but how — sycophant might-be-checked not mine to-find
ἀλλὰ σόν, ὦ πρὸς τὰ καλὰ πάντων σὺ ποριμώτατε.
but yours O for the good-things of-all you most-resourceful

48

Πυλαιμένει

to-Pylaemenes

Καλῶς ποιεῖς εἰς τὴν ἔχουσαν τὸν βασιλέα πόλιν
well you-do to the holding the emperor city
ἐπανελθών· εἰ γὰρ κἂν τοῖς Ἰσαύρων ὄρεσιν ἡ ἀγαθή
having-returned if for even-in the of-Isaurians mountains the good
σοι τύχη συνῆν, ἀλλ᾽ ἔστιν εὐτυχία παρὰ τὸν τόπον
to-you fortune were-with but there-is good-fortune according-to the place
ἀτυχεστέρα. ἐμοὶ δέ τι καὶ ἰδίᾳ διαφέρει τὸ παρ᾽
more-unfortunate to-me but something also privately matters the beside
αὐτά σε πράττειν εὖ τὰ βασίλεια, οὗ διατρίβων καὶ
very you to-fare well the palace where spending-time both

λήψῃ καὶ πέμψεις ἐπιστολάς, τὸ τιμαλφέστατον ἐμοὶ
you-will-receive and you-will-send letters the most-precious to-me
τῶν ἀπὸ Θρᾴκης ἀγωγίμων.
of-the from Thrace goods

49

Θεοτίμῳ

to-Theotimus

Πλείω καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν
more good-things from-the of-Simonides company Hiero enjoyed
ἢ Σιμωνίδης Ἱέρωνος. καὶ ναὶ μὰ τὸν φίλιον τὸν
than Simonides from-Hiero and yes by the of-friendship the(-god)
ἐμόν τε καὶ σόν, οὔ σε πλέον ἐμακάρισα τῆς Ἀνθεμίου
mine both and yours not you more I-counted-blessed for-the of-Anthemius
τοῦ μεγάλου φιλίας ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν
the great friendship than for-the your him that the
μέγαν Ἀνθέμιον· ἀνδρὶ γὰρ ἔχοντι δύναμιν τί κτῆμα
great Anthemius to-man for having power what possession
κάλλιον ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος; οἷον
finer than friend character unhuckstering providing such-as
ἐγὼ Θεότιμον οἶδα, τὴν πραοτάτην καὶ θεοφιλῆ κεφαλήν.
I Theotimus know the mildest and god-beloved head
ἀλλὰ τοῦτο μὲν σὺ Σιμωνίδου πλέον ποιεῖς (Σιμωνίδης
but this indeed you than-Simonides more do Simonides
γὰρ αὐτὸς ὡμολόγει πρὸς ἀργύριον διαλέγεσθαι), ἐκεῖνο
for himself confessed for silver to-converse that
δὲ κοινόν, ὅτι καὶ Σιμωνίδης Ἱέρωνα τῇ διαδοχῇ τοῦ
but common that both Simonides Hiero by-the succession of-the
χρόνου συνέστησε, καὶ διὰ τὰς Θεοτίμου ποιήσεις ἔστ᾽
time commended and through the of-Theotimus poems as-long-as

ἂν Ἕλληνες ὦσι πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων
— Greeks be great Anthemius in the of-the words
διατριβαῖς. ἀλλὰ τὰ μὲν Ῥωμαίων ἐκεῖνος αὔξοι,
schools but the(-things) indeed of-Romans that-one may-increase
σὺ δὲ ἐκείνου τὸ ὄνομα· ποιητικῇ γὰρ ἔδωκεν ὁ θεὸς
you but that-one's the name to-poetry for gave — god
ταμιεύειν τὴν εὔκλειαν, ἧς τὸ καλὸν εἰς σὲ περιήκει.
to-dispense the glory of-which the beauty to you comes-round

50

Τῷ ἀδελφῷ

to-the brother

Ἀπέκτονε, φησί τις, Ἰωάννης Αἰμίλιον, ἕτερος δέ τις τοὺς
has-killed says someone John Aemilius another but some the
πολιτευομένους ἐχθροὺς ἐπ' αὐτῷ ταῦτα συμπλάσαι. τὸ
engaged-in-politics enemies against him these-things to-have-fabricated the
μὲν οὖν ἀληθὲς οἶδεν ἡ Δίκη, καὶ ὁ χρόνος εὑρήσει, ἐγὼ δὲ
indeed then truth knows — Justice and the time will-find I but
καίπερ ἀδήλου τοῦ πράγματος ὄντος οἶμαι δεῖν ἅπαντας
although unclear the matter being I-think it-is-needful all
ἐξῆς ἀποτροπιάζεσθαι, τὸν μέν, ὅτι τοιοῦτός ἐστιν,
in-order to-abominate the(-one) indeed because such he-is
ὥστ' εἰ καὶ μὴ πεποίηκεν, ἀλλ' ἐποίησεν ἂν καὶ τοῖς
that if even not he-has-done but he-would-have-done — and to-the
ἑαυτοῦ τρόποις πρέπουσαν αἰτίαν ἐδέξατο· τοὺς δὲ καὶ μὴ
his-own ways befitting charge received the(-others) but even not
πλάσαντας, ὅτι συνέπλασαν ἄν, καὶ πρὸς αὐτῶν τὸ
having-fabricated because they-would-have-fabricated — and to them the
ἐγχείρημα. ὡς ἔστιν ἦθος ἀνοίκειον ὑποψίας τινί, κἂν
undertaking as there-is character alien to-suspicion for-someone even

εἰ συνωμόται πολλοὶ μαρτυροῖεν, οὐδὲν αὐτοῖς ἔσται πλέον
if conspirators many should-testify nothing for-them will-be more
εἰς πίστιν. οἷον εἴ τις ἑταιρήσεως διώκοι τὸν Αἴαντα,
for credibility as if anyone for-prostitution should-prosecute — Ajax
γέλως ἂν εἴη πλατύς. ὁ δὲ Ἀλέξανδρος, εἰ μὴ θῆλυς, ἀλλὰ
laughter — would-be broad — but Alexander if not female but
θηλυδρίας γε ἦν καὶ τὴν αἰτίαν ἐχώρει. τὸν Σίσυφον δὲ καὶ
effeminate at-least was and the charge admitted — Sisyphus but and
τὸν Ὀδυσσέα μισῶ. καὶ γὰρ εἴ τι καὶ λέγοιεν ἀληθές,
— Odysseus I-hate and for if anything even they-should-say true
ἀλλὰ τοιοῦτοί γε ἦσαν οἷοι τὰ πλεῖστα ψεύδεσθαι. ἐγὼ δὲ
but such at-least they-were as the most-things to-lie I but
οἷς ἀτυχῶ, λίαν εὐτυχῶ, πολιτῶν τοιούτων ἐχθρῶν καὶ
in-what I-am-unfortunate very am-fortunate of-citizens such enemies and
φίλων στερόμενος. διατετειχίσθω μοι τὰ πρὸς ἅπαντας,
friends being-deprived let-be-walled-off to-me the(-things) toward all
οὐδὲν ἐμοὶ πρὸς ἐκείνων οὐδένα. ξένος ἐν ξένοις βιώην. ὁ
nothing to-me toward those anyone stranger among strangers may-I-live the
τρόπος ἡμᾶς πρὸ τοῦ τόπου διῴκισεν. ὀδύρομαι δὲ τὸ κλεινὸν
character us before the place separated I-lament but the famous
ἔδαφος τῆς Κυρήνης, ὃ πάλαι μὲν εἶχον Καρνεάδαι τε καὶ
soil — of-Cyrene which of-old indeed had Carneadeses both and
Ἀρίστιπποι, νυνὶ δὲ Ἰωάνναι τε καὶ Ἰούλιοι, μεθ' ὧν οὐκ
Aristippuses now but Johns both and Juliuses with whom not
εὐκαίρως γενόμενος εὐκαίρως ἀποδημῶ. σὺ δὲ ἀλλὰ μηδὲ
opportunely having-been opportunely I-go-abroad you but but not-even
γράφειν ἔτι μοι περὶ τῶν ἐκεῖθεν πραγμάτων τινός·
to-write any-longer to-me about of-the from-there affairs any
μηδὲ συνιστάναι τοὺς ἔχοντας δίκας· οὐ γὰρ ἂν ἐπιδοίην
nor to-introduce the(-ones) having lawsuits not for — I-would-give
ἐμαυτὸν ἔτι τούτων τινί. ἀτυχέστατος μεντἂν εἴην,
myself any-longer of-these to-anyone most-unfortunate indeed I-would-be

εἰ τῶν μὲν ἀγαθῶν τῆς φιλτάτης πατρίδος στεροίμην,
if of-the indeed good-things of-the dearest fatherland I-should-be-deprived
μετέχοιμι δὲ ἀντιλογιῶν καὶ πραγμάτων ἀφελκόντων με
I-should-share but of-disputes and affairs drawing-away me
τῆς ἐν φιλοσοφίᾳ ῥᾳστώνης, καὶ πενίαν ἐξ ἀπραξίας ὡς
from-the in philosophy ease and poverty from inactivity as
κέρδος ἑλόμενος, τἀλλότρια κακὰ προῖκα περιεργάσομαι.
gain having-chosen others' evils for-nothing I-shall-busy-myself-with

LETTERS 51–57

To his brother he writes of a voyage to Pharos, Attic cloaks, the birth of twin sons, feigned dreams that make him long for Athens, and grief at partings. The long Against Andronicus *argues that God uses wicked powers to punish and then hates them, as Babylon razed Jerusalem and was laid waste; Judas served what had to be and was damned. He tells how he begged for death rather than the priesthood, how Andronicus tortures citizens and starves a councilor, how his child's death has made his prayers vain, and why priesthood and civic power cannot be joined, so another must be chosen. He ends by turning to the synod's action.*

51

Τῷ αὐτῷ
to-the same

Ἄραντες ἐκ Φυκοῦντος ἀρχομένης ἑῴας, δείλης ὀψίας
having-set-sail from Phycus beginning dawn evening late
τῷ κατ' Ἐρυθρὰν κόλπῳ προσέσχομεν· ἐνδιατρίψαντες
to-the by Erythra gulf we-put-in having-stayed
δὲ ὅσον ὕδωρ πιεῖν καὶ ὑδρεύσασθαι (πηγαὶ δὲ ἐπ'
but as-long-as water to-drink and to-draw-water springs but onto
αὐτὴν ἐκδιδόασι τὴν ἠόνα καθαροῦ καὶ ἡδίστου νάματος),
itself issue the shore of-pure and sweetest stream

ἐπισπευδόντων τῶν Καρπαθίων αὖθις ἀνήχθημεν· πνεύματι
hastening the Carpathians again we-put-to-sea with-wind
δὲ χρησάμενοι μετρίῳ μὲν ἀλλ᾽ ἐκ πρύμνης ἀεί, καὶ
but having-used moderate indeed but from stern always and
μέγα οὐδὲν ἐφ᾽ ἑκάστης ἡμέρας ἀνύειν ἐλπίσαντες,
great nothing on each day to-accomplish having-expected
ἐλάθομεν ἐξηνυκότες ὅσον ἔδει. καὶ πεμπταῖοι
we-failed-to-notice having-accomplished as-much-as it-was-needful and on-the-fifth-day
τὸν φρυκτὸν ἰδόντες, ὃν αἴρουσιν ἀπὸ πύργου τοῖς
the beacon having-seen which they-raise from tower for-the(-ones)
καταγομένοις σύνθημα, θᾶττον ἢ λόγος ἀποβιβασθέντες
coming-into-port signal quicker than word having-disembarked
ἦμεν ἐν τῇ νήσῳ τῇ Φάρῳ. λυπρὰ δὲ ἡ νῆσος, ἐν ᾗ
we-were in the island — Pharos wretched but the island in which
μήτε δάσος ἐστὶν αὐτοφυὲς μήτε καρπός, ἀλλ᾽ ἅλες τινές.
neither thicket is natural nor fruit but salts some

52

Τῷ αὐτῷ

to-the same

Ἥκειν τις Ἀθήνηθεν λέγεται κρηπιδοπώλης ἄνθρωπος,
to-have-come someone from-Athens is-said shoe-seller man
παρ᾽ οὗ μοι δοκεῖς καὶ πέρυσιν ἐωνῆσθαι τὰς ἀνατρήτους
from whom to-me you-seem also last-year to-have-bought the open-work
ἐμβάδας. νῦν δέ φασιν αὐτὸν ἐπὶ μεῖζον ἐμπορεύεσθαι,
slippers now but they-say him on greater to-trade
κομίζοντα στολὰς ἀττικουργεῖς, σοί τε θερίστρια
bringing robes Attic-made for-you both summer-wraps
πρέποντα καὶ ἡμῖν ἀναβολὰς εἰς τὴν ὥραν τοῦ ἔτους.
befitting and for-us cloaks for the season of-the year

πρὶν ἂν οὖν ἁπάσας φθάσειεν ἀποδόμενος ἢ τὰς
before — then all he-anticipate having-sold or the(-ones)
τῆς καλλίονος ἐργασίας (οἱ γὰρ προεντυγχάνοντες οὐχ
of-the finer workmanship the for first-comers not
ὑπὲρ τῶν κατόπιν ἀλλ᾽ ὑπὲρ ἑαυτῶν δήπουθεν ἀξιοῦσι
for the(-ones) behind but for themselves surely think-fit
βουλεύεσθαι), εἰσκάλει τὸν ξένον καὶ πρίω μοι τρεῖς ἢ
to-consult call-in the stranger and buy for-me three or
τέτταρας τῶν ἀναβολῶν. πάντως ὅ τι ἂν ὑπὲρ τῆς
four of-the cloaks altogether what ever — for the
τιμῆς κατάθῃ, παρ᾽ ἐμοί σοι πολλαπλάσιον κείσεται.
price you-lay-down with me for-you many-times-over will-lie

53

Τῷ αὐτῷ

to-the same

Μῆκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ
length of-letter unfamiliarity accuses of-the(-one)
διακομίζοντος. ἀλλ᾽ ὁ θαυμαστὸς Ἀκάκιος οἶδε μὲν
carrying but the wonderful Acacius knows indeed
ὅσα κἀγώ, ἐρεῖ δὲ καὶ ὧν οἶδε πλείονα τῷ τε σὸς
as-much-as I-too will-say but also than-what he-knows more by-the both your
ἐραστὴς εἶναι καὶ τὴν γλῶτταν ἔχειν νικῶσαν τὰ πράγματα,
lover to-be and the tongue to-have conquering the facts
ὥστε τὴν ἐπιστολὴν τῷ νόμῳ τοῦ προσειπεῖν σε πλέον ἢ
so-that the letter to-the custom of-the to-greet you more than
τῇ χρείᾳ χαρίζομαι. τὸ δὲ ἀπαγγεῖλαί σοι περὶ τοῦ υἱοῦ
to-the need I-grant the but to-report to-you about the son
Διοσκορίου τοῦτο μὲν ὡς ὑγιαίνει τοῦτο δ᾽ ὡς ἀναγινώσκει
Dioscorius this indeed that he-is-healthy this but that he-reads

καὶ πρόσκειται τοῖς βιβλίοις, τοῦτο τῆς ἐπιστολῆς αὐτῆς
and is-devoted to-the books this of-the letter itself
ὑπαρχέτω τιμή· ἡμεῖς δὲ αὐτῷ συμμορίαν ἀδελφῶν
let-be honor we but to-him company of-brothers
παρεσχόμεθα προσθέντες Ἡσυχίῳ ζεῦγος ἀδελφῶν ἀρρένων,
provided having-added to-Hesychius pair of-brothers male
οὓς εὐτυχεῖς ποιήσειεν ὁ θεὸς αὐτοῖς τε καὶ ἀδελφοῖς καὶ
whom fortunate may-make — god for-themselves both and for-brothers and
γονέων οἴκῳ καὶ τῷ λοιπῷ γένει καὶ ταῖς πατρίοις πόλεσιν.
of-parents for-house and for-the rest family and for-the ancestral cities

54

Τῷ αὐτῷ

to-the same

Συχνοὶ παρ᾽ ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τινας
many among us both laymen and priests fabricating some
ὀνείρους οὓς αὐτοὶ καλοῦσιν ἀποκαλύψεις, ἐοίκασιν ὕπαρ
dreams which they call revelations seem in-waking
μοι δώσειν κακόν, ἂν μὴ τάχιστα τὰς ἱερὰς Ἀθήνας
to-me going-to-give evil if not quickest the holy Athens
καταλαβεῖν μοι γένηται. ὁσάκις ἂν οὖν ἐντυχεῖν σοι
to-reach for-me it-happen as-often-as — then to-meet for-you
γένηται ναυκλήρῳ Πειραϊκῷ, γράφε πρὸς ἡμᾶς· ἐκεῖ γὰρ
it-happen shipmaster of-Piraeus write to us there for
ἐντευξόμεθα ταῖς ἐπιστολαῖς. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο
we-shall-read the letters I-shall-profit but not only this
τῆς ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι
from-the to — Athens road the from-the present to-have-been-rid
δεινῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ
terrible-things but also the no-longer the(-ones) from-there having-come for

λόγοις προσκυνεῖν, οἳ μηδὲν μὲν ἡμῶν τῶν θνητῶν
words to-revere who in-nothing indeed from-us the mortals
διαφέρουσιν (οὔκουν εἰς σύνεσίν γε τῶν Ἀριστοτέλους
differ not-therefore for understanding at-least of-the of-Aristotle
καὶ Πλάτωνος), ἀναστρέφονται δὲ ἐν ἡμῖν ὥσπερ ἐν
and of-Plato they-go-about but among us as among
ἡμιόνοις ἡμίθεοι, διότι τεθέανται τὴν ἀκαδήμειάν τε καὶ
mules demigods because they-have-beheld — academy both and
τὸ Λύκειον καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει Ποικίλην,
— Lyceum and the in which Zeno philosophized Painted-Stoa
νῦν οὐκέτ᾽ οὖσαν ποικίλην· ὁ γὰρ ἀνθύπατος τὰς σανίδας
now no-longer being painted the for proconsul the panels
ἀφείλετο, ἔπειτα ἐκώλυσεν αὐτοὺς ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.
took-away then he-prevented them for wisdom greater to-think

55

Τῷ αὐτῷ

to-the same

Ἔλυσας τὸ πρυμνήσιον, κἀγὼ τὰς ἡμιόνους ἔστησα παρὰ
you-loosed the stern-cable and-I the mules halted by
τὴν ζεφυρῖτιν ἠόνα· τῆς ἀπήνης δὲ ἀποβαίνοντος ἤδη
the western shore of-the carriage but stepping-down already
σοι τὸ ἱστίον ἦρτο, καὶ κατὰ πρύμναν ὁ ἄνεμος.
for-you the sail had-been-raised and at stern the wind
ἀλλὰ τοῖς τε ὀφθαλμοῖς ὑμᾶς ἐφ᾽ ὅσον ἐξικνοῦντο
but with-the both eyes you to as-far-as they-reached
προύπεμψα, καὶ πολλὰ τοῖς ἀνέμοις ὑπὲρ τῆς ἐρωμένης
I-escorted and many-things with-the winds for the beloved
ψυχῆς διείλεγμαι, συνιστὰς αὐτοῖς τὸ σκάφος, ὅτι μοι τὸ
soul I-have-conversed commending to-them the vessel because to-me the

τιμαλφέστατον φορτίον ἐπεπίστευτο· οἱ δέ (οὐ γάρ εἰσιν
most-precious cargo had-been-entrusted they but not for they-are
ἀνέραστοι τῶν καλῶν) ὑπέσχοντό μοι τὴν σὴν κομιδήν
without-love of-the beautiful-things promised me the your conveyance
τε καὶ ἀνακομιδήν. οὗτοι μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες
both and return these-ones indeed then good spirits being
οὐκ ἄν ποτε ψεύσαιντο, σὺ δὲ ὥσπερ αὐτῶν ἐδεήθης,
not — ever would-lie you but as them you-begged
ἐντεῦθεν ἐκεῖσε πορθμεύων δεήθητι, κἀκεῖθεν ἐνθάδε· πολὺ
hence thither crossing beg and-from-there hither much
γὰρ ἂν ἡδίους τότε σοι παραγένοιντο.
for — sweeter then to-you they-would-be-present

56

Τῷ αὐτῷ

to-the same

Ἀδικεῖς με, ὦ θεία καὶ ἱερὰ κεφαλή, ψυχὴν ἁπλῆν καὶ ὑπὸ
you-wrong me O divine and holy head soul simple and by
συνηθείας ἁλώσιμον ἐνσείσας μὲν εἰς τὸ διαφερόντως
habit liable-to-capture having-shaken indeed into the exceedingly
ἀγαπᾶν σέ τε καὶ τὴν ἀδελφιδῆν, ἀφελόμενος δὲ σαυτοῦ τε
to-love you both and the niece having-deprived but of-yourself both
καὶ τῆς ἀδελφιδῆς. ἐκείνην μὲν οὖν ἔχων διπλῆν ἐθεώμην
and of-the niece her indeed then having double I-beheld
εἰκόνα, καὶ παρῆν μοι διὰ τῆς νεάνιδος ὁ θεῖος αὐτῆς·
image and was-present to-me through the girl the uncle her
νῦν δὲ ἅπαντα τὰ φίλα φροῦδα, καὶ μέμφομαι τῇ φύσει
now but all the dear-things gone and I-blame the nature
διὰ τὴν ἀμετρίαν τῆς εἰς τὸ ἀδικεῖσθαι ῥοπῆς. καὶ εἴ τι
because-of the immoderation of-the toward the to-be-wronged inclination and if any

φιλοσοφίας ὄφελος, εἰς τὸ ἀρρενωπότερον ἀναχθήσομαι, καὶ
of-philosophy benefit to the more-manly I-shall-be-raised and
τοῦ λοιποῦ σφενδαμνίνῳ μοι καὶ ἀκλινεστέρῳ συνέσεσθε.
for-the rest maple-like to-me and more-unbending you-will-be-with

57

Κατὰ Ἀνδρονίκου

against Andronicus

Αἱ κακοποιοὶ δυνάμεις ἐν κόσμῳ συντελοῦσι μὲν τῇ χρείᾳ
the evil-doing powers in cosmos contribute indeed to-the need
τῆς προνοίας (κολάζουσι γὰρ τοὺς ἀξίους κολάζεσθαι),
of-the providence they-punish for the(-ones) worthy to-be-punished
εἰσὶ δὲ ὅμως θεομισεῖς τε καὶ ἀποτρόπαιοι· ἐγερῶ
they-are but nevertheless god-hated both and to-be-averted I-will-raise
γάρ φησιν ἔθνος ἐφ' ὑμᾶς, ὑφ' οὗ πείσεσθε τόσα
for he-says nation against you by which you-will-suffer so-many-things
καὶ τόσα. καὶ τελευτῶν αὐτοῖς ἐκείνοις οἷς
and so-many-things and at-the-end on-them those against-whom
ἐπιστρατεύει φησὶν ἐπεξελεύσεσθαι, ὅτι παραλαβόντες
it-campaigns he-says to-go-against because having-received
ὑμᾶς οὐκ ἠλέησαν οὐδὲ ἀνθρωπίνως ἐχρήσαντο. αὐτὰς
you not they-pitied nor humanely treated the-very
μὲν οὖν οὐκ ἐξεμελέτησα τὰς ἱερὰς συλλαβάς, ἰσχυρίζομαι
indeed then not I-studied the holy syllables I-maintain
δὲ ὡς ἔστιν οὗ τῶν βιβλίων ὁ θεὸς ταῦτα λέγων
but that there-is where of-the books — god these-things saying
πεποίηται. καὶ οὐκ εἶπε μὲν οὕτως, οὐκ ἐποίησε δέ,
has-been-made and not said indeed so not did but
ἀλλ' ὁ Βαβυλώνιος βασιλεὺς Ἱερουσαλὴμ μὲν τὴν πόλιν
but the Babylonian king Jerusalem indeed the city

κατέσκαψε, τὸ δὲ ἔθνος ἠνδραποδίσατο. ὁ δὲ αὐτὸς
razed the but nation enslaved the but same
οὗτος οὐκ εἰς μακρὰν ἐμεμήνει, καὶ γέγονε δίκη θεοῦ
this-one not after long was-raving and it-became justice of-god
ἐξερημωθῆναι τὴν πόλιν, ὡς εἰ καὶ γέγονεν ἐν τῷ τόπῳ
to-be-made-desolate the city so-that if even it-had-been in the place
πόλις ἀπιστηθῆναι. ἆρα τολμήσει τις ἐρέσθαι θεὸν διὰ
city to-be-disbelieved — will-dare anyone to-ask god because-of
τί σὺ μὲν ἀνίστης ἄνδρας ἐπὶ τοὺς ἡμαρτηκότας
what you indeed raise-up men against the(-ones) having-sinned
σοι τιμωρούς, ὅταν δὲ ὑπηρετήσωσι τῷ θείῳ βουλήματι,
against-you avengers when but they-have-served the divine will
καὶ γένωνται δήμιοι τούτοις ἐφ᾽ οὓς καταπέμπονται,
and become executioners to-those against whom they-are-sent-down
δέον ἐκτῖσαι χάριν τῆς ὑπουργίας, τότε δὴ μάλιστα
it-being-needful to-pay thanks for-the service then indeed most
καὶ κολάζονται; ἀλλ᾽ ἢ κεκίνηκεν ἡμᾶς εἰς ἀπόκρισιν ὧν
also they-are-punished but — has-be-moved us to answer of-what
αὐτοῦ πυνθανόμεθα; ἐπειδὴ γὰρ βεβλαμμένου τῇδε τοῦ θείου
of-him we-inquire since for having-been-harmed here the divine
νόμου παρῆλθεν εἰς ἀνθρώπους τὰ κακά (τὰ δὲ κακοποιὰ
law passed to men the evils the but evil-doing
διαφερόντως κακά· περιουσίᾳ γὰρ φύσεως καὶ δραστήρια
especially evils by-abundance for of-nature also active
γίνεται), ἐπειδὴ δ᾽ οὖν ἅπαξ γέγονε τὰ κακά (τῆς γὰρ
they-become since but then once have-become the evils of-the for
θείας σοφίας καὶ ἀρετῆς καὶ δυνάμεως ἔργον ἐστὶν οὐ
divine wisdom and virtue and power work is not
μόνον τὸ ἀγαθοποιεῖν (φύσις γάρ, ὡς εἰπεῖν, αὕτη θεοῦ,
only the to-do-good nature for as to-say this of-god
ὡς τοῦ πυρὸς τὸ θερμαίνειν καὶ τοῦ φωτὸς τὸ φωτίζειν),
as of-the fire the to-heat and of-the light the to-illuminate

ἀλλὰ κἀκεῖνο μάλιστα, τὸ διὰ κακῶν ἐπινοηθέντων
but also-that most the through evils having-been-devised
πρός τινων ἀγαθόν τι καὶ χρηστὸν τέλος ἀποτελεῖν καὶ
by some good some and useful end to-accomplish and
ὠφελίμως τοῖς δοκοῦσι φαύλοις χρῆσθαι), σοφίας ἐστὶν
profitably the(-things) seeming bad to-use of-wisdom it-is
εὐμηχάνου καὶ τοῖς κακοῖς ἐν δέοντι χρήσασθαι. ὅταν οὖν
inventive also the evils in need to-use when then
δέηται κολαστῶν, χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων
he-needs punishers he-uses now indeed herd-leaders of-locusts
δαίμοσι, νῦν δὲ ὧν ἔργα λοιμοί· καὶ νῦν μὲν ἔθνει
spirits now but of-whom works plagues and now indeed nation
βαρβάρῳ, νῦν δὲ ἄρχοντι πονηρῷ· καὶ καθάπαξ εἰπεῖν,
barbarian now but ruler wicked and once-for-all to-say
ταῖς ἐπιτηδείοις εἰς τὸ ποιῆσαι κακὰ δημόσια φύσεσι.
the suitable for the to-make evils public natures
μισεῖ δ' ὅμως αὐτάς, ὅτι πρὸς τοῦτο γεγόνασιν
he-hates but nevertheless them because for this they-have-become
ἐπιτήδειοι· οὐ γὰρ ἐποίησεν ὁ θεὸς ὄργανα συμφορῶν,
suitable not for made — god instruments of-misfortunes
ἀλλ' ὑφ' ἑαυτῶν εἰς τοῦτο ταχθεῖσιν ἑτοίμως ἐχρήσατο.
but by themselves to this having-been-ranged readily he-used
καὶ διότι πρὸς τοῦτο σὺ γέγονας χρήσιμος, αὐτὸ τοῦτ'
and because for this you have-become useful it this
ἐστὶν ὅ σε παντάπασιν ἀποκόπτει θεοῦ. οὕτω καὶ σκεῦος
is which you altogether cuts-off from-god so also vessel
τὸ μὲν ἄτιμον, τὸ δὲ τίμιόν ἐστί τε καὶ νομίζεται·
the(-one) indeed dishonorable the(-other) but honorable is both and is-thought
κρίνεται γὰρ ἑκάτερον πρὸς ἥντινα τὴν χρείαν παρέχεται.
is-judged for each by what the use it-provides
τράπεζα μὲν ἱερὸν χρῆμα, δι' ἧς ὁ θεὸς τιμᾶται
table indeed holy thing through which — god is-honored

φίλιός τε καὶ ξένιος, καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία θεοῦ
of-friendship both and of-guests and — Abraham the hospitality of-god
πεποίηκεν ἑστιάτορα· μάστιξ δὲ ἀποτρόπαιον, θυμῷ γὰρ
has-made host scourge but thing-to-be-averted to-anger for
ὑπηρετεῖται; καί τις ἤδη χρησάμενος αὐτῇ μετενόησε.
it-is-subservient and someone already having-used it repented
τῶν μέντοι κολαζομένων θεὸς κήδεται· οὐδὲ γὰρ οὐδὲ
of-the however being-punished god cares nor for even
τοῦτο μικρόν, ἐπισκοπῆς ἀξιωθῆναι θεοῦ καὶ καθήρασθαι
this small of-visitation to-be-deemed-worthy of-god and to-be-purified
διὰ δίκης τὰ ἁμαρτήματα. αἱ δὲ τιμωροὶ φύσεις εἰσὶ
through justice the sins the but avenging natures are
παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ· τὸ γὰρ ἀφανιστικὸν τῷ
altogether averse — to-god the for destructive to-the
δημιουργικῷ δήπου πολέμιον. οὐδὲ γὰρ οὐδὲ διάκειται τὴν
creative surely hostile nor for even is-disposed in-the
γνώμην ὁ τιμωρὸς ἢ δαίμων ἢ ἄνθρωπος ὡς λειτουργίαν
mind the avenger either spirit or man as service
τινὰ ταύτην εἰσφέρων θεῷ, ἀλλὰ τῇ μοχθηρίᾳ τῆς
some this bringing to-god but to-the wickedness of-the
φύσεως χαριζόμενος ταῖς κοιναῖς συμφοραῖς ἐπεξέρχεται.
nature gratifying the common misfortunes he-attacks
οὐ τοίνυν ἐπειδὴ δυστυχεῖν ἔδει τὴν πόλιν, σὺ
not therefore since to-be-unfortunate it-was-needful the city you
δὲ τοῦτ' εἰργάσω, παρὰ τοῦτό σε δεῖ διαδρᾶναι
but this worked because-of this you it-is-needful to-escape
τὴν δίκην· ταύτην γὰρ ἂν τὴν ἀπολογίαν καὶ Ἰούδας
the justice this for — the defense also Judas
ἀπελογήσατο, ἔδει γὰρ ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας
would-have-pleaded it-was-needful for for the of-all sin
σταυρωθῆναι Χριστόν. ἀλλ' ἔδει μέν, φησίν, οὐαὶ δὲ
to-be-crucified Christ but it-was-needful indeed he-says woe but

δι᾽ οὗ γέγονε, καὶ καλὸν ἦν τῷ ἀνθρώπῳ ἐκείνῳ εἰ
through whom it-happened and good it-were for-the man that if
μὴ ἐγένετο. οὐκοῦν τὸ μὲν ὁρώμενον ἀγχόνη τὴν
not he-had-been-born therefore the(-thing) indeed being-seen noose the
προδοσίαν αὐτοῦ διεδέξατο, τὸ δὲ οὐχ ὁρώμενον οὐδ᾽
betrayal his succeeded the(-thing) but not being-seen not-even
ἂν ἐπινοήσειέ τις. οὐ γὰρ ἔστιν ἐπίνοιαν ἀνθρώπου
— could-conceive anyone not for it-is-possible conception of-man
χωρῆσαι τίνα γένοιτ᾽ ἂν τῷ Χριστοῦ προδότῃ τὰ
to-contain what would-be — for-the of-Christ betrayer the
κολαστήρια· τὸ γὰρ ᾗ δεῖ γενέσθαι ὑπηρετῆσαι
punishments the for in-what-way it-is-needful to-happen to-serve
τῷ χρεὼν οὐκ ἀστείας ἀπολογίας ἐστί. δεῖ τοίνυν
the fate not of-elegant defense is it-is-needful therefore
ὅσον οὐδέπω καὶ Αὐσουριανοὺς καὶ Ἀνδρόνικον ὑπὲρ
as-good-as not-yet both Ausurians and Andronicus for
ὧν εἰς ἡμᾶς εἰργάσαντο δίκην ἀξίαν κομίσασθαι· καὶ
what against us they-worked penalty worthy to-receive and
γὰρ τὴν ἀκρίδα τὴν λυμηναμένην ἡμῶν τοὺς καρποὺς
for the locust the(-one) having-destroyed our the fruits
καὶ μέχρι μὲν καλάμης τὸ λήιον μέχρι δὲ φλοιοῦ τὰ
and as-far-as indeed stalk the crop as-far-as but bark the
φυτὰ δαπανήσασαν καταποντιστὴς ἄνεμος ἄρας ὦσεν
plants having-consumed sea-plunging wind having-lifted pushed
εἰς μέσον τὸ πέλαγος. ταύτῃ μὲν οὖν τῇ πληγῇ τὸν
into middle the sea to-this indeed then to-the blow the
νότον ἀντέταξεν ὁ θεός, καὶ ἐπ᾽ Αὐσουριανοὺς ἤδη
south-wind opposed — god and against Ausurians already
τις ᾕρηται παρ᾽ αὐτοῦ στρατηγός. ὡς εἴη γε
someone has-been-chosen by him general would-that may-it-be indeed
τοῦτον ἡμῖν εἶναι τῶν παρ᾽ αὐτοῦ πώποτε στρατηγῶν
this-one for-us to-be of-the by him ever generals

εὐσεβέστατόν τε καὶ δικαιότατον. τοῦτον ἐπὶ τῷ κατ᾽
most-pious both and most-just this-one for the against
αὐτῶν τροπαίῳ μακαρίσαι μοι γένοιτο. μακάριός φησιν
them trophy to-call-blessed for-me may-it-happen blessed he-says
ὃς ἀνταποδώσει τὸ ἀνταπόδομα αὐτοῖς, μακάριος ὃς
who will-repay the repayment to-them blessed who
ἐδαφιεῖ τὰ νήπια αὐτῶν πρὸς τὴν πέτραν. τίς δὲ ἄρα, τίς
will-dash the infants their against the rock what but then what
ὄλεθρος περιμενεῖ τὸν παλαμναῖον τῆς χώρας Ἀνδρόνικον;
destruction will-await the bloodstained of-the country Andronicus
τίς ἀξία γένοιτ᾽ ἂν δίκη ψυχῆς κακεργέτιδος; ὡς ἐμοὶ τῶν
what worthy would-be — justice of-soul evil-working as to-me of-the
πληγῶν ἁπασῶν, αἷς μετῆλθεν ἡμῶν τὰς ἁμαρτίας
blows all with-which visited our the sins
ὁ θεός, Ἀνδρόνικός ἐστι μακρῷ πάντων βαρύτερος· πρὸς
— god Andronicus is by-far of-all heavier besides
γὰρ ταῖς κοιναῖς συμφοραῖς οὗτος ἐμόν ἐστι κακὸν ἴδιον.
for the common misfortunes this-one mine is evil own
διὰ τούτου μέτεισιν ὁ πειράζων, ἵνα δραπετεύσω τοῦ
through this-one pursues the tempter that I-may-run-away-from the
θυσιαστηρίου τὴν λειτουργίαν. ἐπανακτέον δέ μοι μικρὸν
altar the service it-must-be-brought-back but by-me a-little
ἄνω τὸν λόγον, ἵν᾽ οἷς ἴστε προσθεὶς ἃ μὴ πάντες
up the account that to-what you-know having-added what not all
γινώσκετε, ἀκόλουθον ὑμῖν τὴν διδασκαλίαν τῶν περὶ ἐμὲ
know consistent for-you the teaching of-the about me
πραγμάτων ποιήσωμαι· καὶ γὰρ πρὸς τὰ μετὰ ταῦτά
affairs I-may-make and for toward the(-things) after these-things
μοι καλῶς ἔχει τούτων ὑμᾶς ἀκροατάς μοι γενέσθαι.
for-me well it-is of-these you hearers for-me to-become

Ἐμοὶ παιδόθεν παρέστη θεῖον ἀγαθὸν εἶναι σχολὴ καὶ
to-me from-childhood it-occurred divine good to-be leisure and
τοῦ ζῆν εὐμάρεια, τοῦθ' ὃ ταῖς θείαις φύσεσι προσήκειν
of-the to-live ease this which to-the divine natures to-belong
τις ἔφη· αὐτὸ τοῦτ' εἶναι τὸ τὸν νοῦν ἐκτρέφειν καὶ
someone said it this to-be the the mind to-nourish and
συνιστᾶν τῷ θεῷ τὸν ἔχοντά τε αὐτὴν καὶ καρπούμενον.
to-commend — to-god the(-one) having both it and enjoying
ὅσα δὴ παισίν ἐστιν ἢ γίνεται πράγματα, τούτων
as-many-as indeed to-children are or come-about affairs of-these
ὡς ἐλαχίστων ἐγὼ μετέσχον, καὶ ὅσα μειρακίοις καὶ
as least I shared and as-many-as to-lads and
ὅσα νέοις. καὶ εἰς ἄνδρα παραγγείλας οὐδέν τι
as-many-as to-youths and into man having-been-enrolled nothing at-all
παιδαρίου πρὸς ἀπραγμοσύνην παρήλλαξα, ἀλλ' ὥσπερ ἐν
from-a-little-boy toward quietism I-changed but as in
πανηγύρει σεμνῇ διεξάγων τὸν βίον διὰ πάσης ἡλικίας
festival solemn passing the life through every age
ἵλεων καὶ ἀκύμαντον τῆς ψυχῆς ἐτήρησα τὴν διάθεσιν. οὐ
gracious and waveless of-the soul I-kept the disposition not
μὴν διὰ τοῦτο ἀνθρώποις ἀσυντελῆ με πεποίηκεν ὁ
however because-of this to-men useless me has-made —
θεός, ἀλλὰ πολλάκις ἡμῖν καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον
god but often us both private-men and cities for need
ἐχρήσαντο· ἐδίδου γὰρ ὁ θεὸς δύνασθαί τε τὰ μέγιστα
used gave for — god to-be-able both the greatest-things
καὶ τὰ κάλλιστα βούλεσθαι. τούτων οὐδὲν ἐμὲ φιλοσοφίας
and the finest to-wish of-these nothing me from-philosophy
ἀφεῖλκεν, οὐδὲ τὴν εὐδαίμονά μοι σχολὴν ὑπετέμνετο·
drew-away nor the happy for-me leisure cut-short
τὸ γὰρ ὠθισμῷ καὶ μόχθῳ καὶ μόλις ποιεῖν, τοῦτ'
the for with-jostling and toil and scarcely to-do this

ἐστὶν ὃ δαπανᾷ τὸν χρόνον, καὶ τὴν ψυχὴν ἐμβαπτίζει
is which consumes the time and the soul immerses
μερίμναις πραγμάτων. ὅτῳ δὲ εἰπεῖν μόνον καθήκει, ἡ
in-cares of-affairs for-whom but to-speak only is-fitting the
πειθὼ δὲ ἕπεται, καὶ ὁ λόγος ἀνυσιμώτατός ἐστι παρὰ
persuasion but follows and the word most-effective is with
τοῖς ἀκούουσι, τίς φειδὼ ῥημάτων, ἵνα δυστυχίας τις
the(-ones) hearing what sparing of-words that from-misfortune someone
ἐλευθερωθῇ; τίμιον ζῷον ὁ ἄνθρωπος· τίμιον γάρ, εἰ δι᾽
may-be-freed precious creature the man precious for if for
αὐτὸν ἐσταυρώθη Χριστός. ἐμοὶ δὴ τὸ πείθειν ἀνθρώπους
him was-crucified Christ for-me indeed the to-persuade men
εἰς τὸν μέχρι τοῦ παρόντος ἐνιαυτὸν τάχα μὲν θεῖος κλῆρος
to the until the present year perhaps indeed divine lot
ἐγένετο, τάχα δὲ μόλις πραγμάτων ἁπτόμενος ἐπετύγχανον.
became perhaps but scarcely affairs touching I-succeeded
νῦν γὰρ δὴ τὸ πρᾶγμα ἔοικεν ἐξελέγχεσθαι μετὰ πολλῶν
now for indeed the thing seems to-be-refuted with many
ἄτινα σαφῶς ἦν τοῦ θεοῦ, καὶ τοῦτ᾽ ἀνετίθην αὐτῷ, καὶ
which clearly were — of-god and this I-ascribed to-him and
ἔζων μετ᾽ ἀγαθῶν τῶν ἐλπίδων, ὥσπερ ἐν ἱερῷ περιβόλῳ
I-lived with good the hopes as in holy precinct
τῷ κόσμῳ, ζῷον ἄφετον ἀνειμένον, εὐχῇ καὶ βιβλίῳ
the cosmos creature sacred having-been-let-loose with-prayer and book
καὶ θήρᾳ μερίζων τὸν βίον· ἵνα γὰρ ὑγιαίνῃ ψυχή τε
and hunt dividing the life that for may-be-healthy soul both
καὶ σῶμα, τὸ μέν τι δεῖ πονεῖν, τὸ δὲ
and body the(-one) indeed something it-is-needful to-toil the(-other) but
αἰτεῖν τὸν θεόν. μετὰ τοιαύτης εὐμαρείας εἵλκυσα τοὺς
to-ask — god with such ease I-drew-out the
ἐνιαυτοὺς τοὺς μέχρι τῆς ἱερωσύνης αἱρέσεως, πρὸς ἣν
years the(-years) until the of-priesthood election toward which

ἐγὼ παρὰ τοὺς πώποτε δειλότατος γέγονα. μαρτύρομαι
I beyond the(-men) ever most-cowardly have-become I-call-to-witness
τὸν ἐπὶ πᾶσι θεόν, οὗ δι᾽ ὑμᾶς ἐγὼ τὰς ἀπορρήτους
the over all god whose for you I the secret
ἐβάστασα τελετάς, δίχα τῶν ἀνθρωπίνων περιόδων τε
bore rites apart-from the human circuits both
καὶ σπουδῶν αὐτῷ κατὰ μόνας ἐν πολλοῖς καιροῖς τε
and pursuits to-him by alone in many seasons both
καὶ τόποις προσῆλθον θεῷ, καὶ πρηνὴς καὶ γονυπετὴς
and places I-approached god and prostrate and kneeling
ἱκέτης γενόμενος θάνατον ἀνθ᾽ ἱερωσύνης ᾑρούμην.
suppliant having-become death instead-of priesthood I-was-choosing
αἰδὼς γάρ τίς με καὶ φιλία κατεῖχε τῆς ἐν φιλοσοφίᾳ
shame for some me and love held of-the in philosophy
σχολῆς, ὑπὲρ ἧς ἅπαντα δεῖν ᾤμην ποιεῖν τε καὶ
leisure for which all-things to-be-needful I-thought to-do both and
λέγειν. ἀλλ᾽ ἐπειδὴ τῶν μὲν ἀνθρώπων ἐκράτουν, τοῦ
to-say but since the indeed men I-overcame —
θεοῦ δὲ ἡττώμην, ὡς κοινὴ φήμη τὸν ἀξιούμενον εἶναι
by-god but was-defeated as common report the(-one) being-deemed-worthy to-be
γνώριμον θεοῦ, ἔφερον, ἀλλὰ δυσηνιάστως τὴν καινοτομίαν
acquaintance of-god I-bore but restively the innovation
τοῦ βίου· δρασμῷ γὰρ ἐπιθέμενον ἐλπὶς ἀγαθῶν καὶ φόβος
of-the life on-flight for having-set-out hope of-goods and fear
χειρόνων ἀνέκοψε. καὶ λεγόντων ἤκουσα γερόντων ἱερῶν
of-worse checked and saying I-heard elders holy
ὅτι με θεὸς ποιμαίνει· καί τις ἐπὶ λέξεως εἶπεν ὡς ἱλαρόν
that me god shepherds and someone on word said that cheerful
ἐστι τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἱλαρύνει τοὺς μετόχους
is the spirit the holy and cheers the partakers
αὐτοῦ. καὶ προσέθηκεν ὡς ἠμφισβήτησαν ἡμῶν πρὸς θεὸν
of-it and he-added that disputed over-us with god

δαίμονες, οὓς λυπῶ προσχωρήσας τῇ μερίδι τῇ κρείττονι.
spirits whom I-grieve having-gone-over to-the portion the better
ἀλλὰ κἄν τι προσβάλωσι χαλεπόν, οὐκ ἀμελεῖται, φησί,
but even-if any they-bring-on hard not is-neglected he-says
φιλόσοφος ἱερωμένος. ἐγὼ μὲν οὖν (οὐ γὰρ ῥᾴδιός εἰμι
philosopher having-been-ordained I indeed then not for easy I-am
χαυνωθῆναι καὶ λαμπρόν τι λογίσασθαι περὶ ἐμαυτοῦ)
to-be-puffed-up and splendid anything to-reckon about myself
τὴν ἀτυχίαν ἠτιασάμην, ἀλλ᾽ οὐχ ὑπὸ φθόνου δαίμονος (οὐ
the ill-fortune I-blamed but not by envy of-spirit not
γὰρ οἶμαί μοι προσήκειν ἀρετήν, ἥτις ἂν τοὺς βασκάνους
for I-think to-me to-belong virtue which — the envious
ἐκίνησεν), ἀλλ᾽ ἐφόβει με μᾶλλον δίκας ὀφλόντα παρ᾽
would-have-moved but frightened me rather penalties having-incurred beyond
ἀξίαν ἅψασθαι μυστηρίων θεοῦ. καὶ ταύτην τὴν ἀτυχίαν
worth to-touch mysteries of-god and this the ill-fortune
ἐμαντευόμην, εἰς ἣν οὐ κατὰ μικρὸν ὤλισθον· ἀλλ᾽ ἅμα τε
I-divined into which not by little I-slipped but at-once both
παρῆν ἐνθάδε καὶ τὰ δεινὰ πάντα παρῆν, καὶ χορηγὸς
I-was-present here and the terrible-things all were-present and leader
πάντων Ἀνδρόνικος, δαίμων ἀρήιος, ἄπληστος συμφορῶν,
of-all Andronicus spirit martial insatiable of-misfortunes
τῆς πόλεως τοῖς λειψάνοις ἐγκείμενος. ἔα, πανταχοῦ
of-the city on-the remnants pressing ha everywhere
τῆς ἀγορᾶς ἀνδρῶν οἰμωγαί, γυναικῶν ὀλολυγαί, παίδων
of-the market of-men wailings of-women shrieks of-children
ὀλοφυρμοί. σχῆμα πόλεως ἑαλωκυίας αὐτῇ περιτέθεικεν,
laments look of-city having-been-captured on-it he-has-put
ἧς τὸ κάλλιστον μέρος ἀποτεμόμενος τίσεως χωρίον
of-which the finest part having-cut-off of-punishment place
ὀνομασθῆναι γέγονεν αἴτιος, τὴν στοὰν τὴν βασίλειον,
to-be-named he-has-become cause the portico the royal

τὸ πάλαι κριτήριον, ἀποδείξας βασανιστήριον. ταύτην
the of-old court having-declared torture-house this
δαίμοσι ποινίμοις, οἷς ἑαυτὸν ἄρα προσένειμε, βωμὸν
to-spirits avenging to-whom himself then he-assigned altar
καὶ τράπεζαν παρέθηκεν. ὦ πόσοις αὐτοὺς πολιτῶν
and table he-set-beside O with-how-many them of-citizens
εἱστίασε δάκρυσι. ποῖοι Ταυροσκύθαι, τίνες Λακεδαιμόνιοι
he-feasted tears what Tauro-Scythians what Lacedaemonians
τοσούτῳ τῷ διὰ τῶν μαστίγων αἵματι τὴν παρ᾽ αὐτοῖς
with-so-much the through the scourges blood the among them
ἐτίμησαν Ἄρτεμιν; δρόμος ἁπάντων εὐθὺς ἐπ᾽ ἐμέ, καὶ
honored Artemis running of-all straightway to me and
πανταχόθεν εὐθὺς ἐβαλλόμην ἀκοῇ καὶ θέᾳ κακῶν.
from-everywhere straightway I-was-struck by-hearing and sight of-evils
νουθετήσας οὐκ ἔπεισα, ἐπιτιμήσας ἠρέθισα. ὁ παρὼν
having-admonished not I-persuaded having-rebuked I-provoked the present
καιρὸς ἤλεγξεν ἡμῶν τὴν ἀσθένειαν, ἣν μέχρι νῦν ἔκρυψεν
season exposed our the weakness which until now hid
ἀπὸ τῶν ἀνθρώπων θεός· συγχωρουμένων γὰρ ἀεὶ τιμὴν
from the men god of-concessions for always honor
καρπωσάμενος παρέσχον ὑποψίαν τῇ πατρίδι δυνάμεως.
having-reaped I-provided suspicion to-the fatherland of-power
καὶ τοῦτο τὸ χαλεπώτατον τῶν συμβεβηκότων ἐστί
and this the hardest of-the(-things) having-happened is
μοι· πρὸς γὰρ τὴν ἐλπίδα τῶν ἠγνοηκότων με κρίνομαι.
to-me by for the hope of-the(-ones) not-having-known me I-am-judged
οὐδὲ γὰρ πείθω λέγων αὐτοῖς ὡς οὐ δύναμαι, ἀλλ᾽ ἀξιοῦμαι
not for I-persuade saying to-them that not I-am-able but I-am-deemed
πάντα τὰ δίκαια δύνασθαι. περίεστιν οὖν αἰσχύνεσθαι καὶ
all the just-things to-be-able it-remains then to-be-ashamed and
λυπεῖσθαι. πάθος εὐθὺς ἐν ψυχῇ, καὶ ποικιλία φροντίδων
to-be-grieved passion straightway in soul and variety of-cares

καὶ εἰδωλοποιία πραγμάτων καὶ μακρὰν ὁ θεός. εἰ
and image-making of-affairs and far-off — god if
δαιμόνων εἰσὶ προσβολαὶ τὰ γινόμενα δι᾽ Ἀνδρονίκου,
of-spirits are assaults the(-things) happening through Andronicus
πᾶν ἐποίησαν ὅσον ἐβούλοντο. οὐκέτι τῆς συνήθους ἐν
all they-did as-much-as they-wished no-longer of-the customary in
εὐχαῖς γλυκυθυμίας ᾐσθόμην, ἀλλὰ τὸ μὲν σχῆμα εὐχῆς,
prayers sweetness-of-heart I-perceived but the indeed form of-prayer
ἐγὼ δὲ περιηνέχθην ἀπανταχοῦ τῶν πραγμάτων ὀργῇ
I but was-carried-about everywhere of-the affairs by-anger
καὶ λύπῃ καὶ πᾶσι πάθεσι μεριζόμενος. καίτοι διὰ νοῦ
and grief and all passions being-divided and-yet through mind
τῷ θεῷ συγγινόμεθα, γλῶττα δὲ ἀνθρώποις τὰ
— with-god we-commune tongue but for-men the(-things)
πρὸς ἀνθρώπους ὑπηρετεῖ. εἰ τοίνυν ἐν εὐχαῖς ἀπροσεξίαν
toward men serves if therefore in prayers inattention
ἠτύχηκα καὶ παρὰ πόδας ἡ πεῖρα, τῆς γέ τοι τοῦ
I-have-suffered and at feet the trial of-the at-least in-truth of-the
βίου μεταβολῆς οὐ ταύτῃ μόνον εἰς κακὸν ἀπολέλαυκα, ἐξ
life change not in-this only to evil I-have-reaped from
ἀπροσεξίας εὑρόμενος πράγματα, ἀλλ᾽ ἀπενθὴς τὸ μέχρι
inattention having-found troubles but unbereaved the until
πρώην διαγενόμενος, νεκρὸν ἐπεῖδον οὗ προαποθανεῖν
lately having-lived dead I-saw for-whom to-die-first
ηὐχόμην· οὕτω πικροῖς ἡμᾶς ἡ πόλις ἐπιβατηρίοις
I-prayed so with-bitter us the city landing-rites
ἐξένισεν. ὡς ἅμα τοῖς ἀνθρώποις τὰ πράγματα νῦν
entertained as together-with the men the affairs now
μὲν ἄνω νῦν δὲ κάτω χωρεῖ, καὶ ῥοῦς ἥκει φέρων ἀθρόα
indeed up now but down go and stream comes bearing crowded
πολλά, νῦν μὲν αἴσια νῦν δὲ ἀπαίσια. ἀλλ᾽ ἐπειδή
many-things now indeed auspicious now but inauspicious but since

μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον, κἂν
to-me it-befell to-lose of-the children the dearest even
εἰργασάμην τι δεινὸν αὐτὸς ἐμαυτόν· οὕτως ἑαλώκειν
would-have-done something terrible myself to-myself so I-had-been-seized
τοῦ πάθους. ἔγωγέ τοι τὰ μὲν ἄλλα ἄρρην εἰμί
by-the passion I in-truth in-the indeed other-things male am
(λέγω δὲ ἐν εἰδόσι), καὶ τὰ πολλὰ δουλεύω τῷ
I-speak but among knowing-ones and the many-things I-serve the
λόγῳ, συνηθείας δὲ οὕτω τι ἥττων ὡς ταύτῃ κρατεῖν
reason to-habit but so somewhat weaker as by-it to-overcome
τὴν ἀλογίαν τοῦ λόγου. οὔκουν οὐδὲ τοῖς ἐκ φιλοσοφίας
the unreason the reason not-therefore even by-the from philosophy
δόγμασι τοῦ παρόντος πάθους ἐκράτησα, ἀλλὰ Ἀνδρόνικος
doctrines the present passion I-overcame but Andronicus
ἀντιπεριήγαγε, καὶ πρὸς ταῖς κοιναῖς συμφοραῖς τὸν
drew-round-the-other-way and toward the common misfortunes the
νοῦν ἔχειν ἐποίησε. καὶ γεγόνασί μοι συμφοραὶ παραμυθίαι
mind to-have made and have-become to-me misfortunes consolations
τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι καὶ πάθει
of-the misfortunes toward themselves drawing-back and by-passion
πάθος ἐκκρούουσαι. συνεπιτίθεται δή μοι τῇ πικρᾷ τῶν
passion knocking-out attacks-besides indeed me the bitter of-the
παρόντων αἰσθήσει μνήμη τῶν παρελθόντων ἀγαθῶν, ἐξ
present perception memory of-the having-passed goods from
οἵων ἄρα ἐν οἵοις γεγόναμεν, καὶ ζῶ πονήρως, ἅμα
what-sort then into what-sort we-have-become and I-live miserably at-once
πάντων ἀφῃρημένος. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν,
of-all having-been-deprived the indeed then greatest of-the evils
ὅ μοι καὶ δύσελπιν εἶναι τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς
which to-me also despairing to-be the life makes not accustomed
ἀποτυγχάνειν ἐν ἱκετείαις θεοῦ, νῦν πρῶτον οἶδα μάτην
to-fail in supplications of-god now first I-know vainly

εὐξάμενος· ὃς τὴν μὲν οἰκίαν κακῶς πράττουσαν ὁρῶ,
having-prayed I-who the indeed house badly faring see
τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι. πᾶσι
the but fatherland unfortunate to-inhabit am-compelled to-all
δὲ ἐκκείμενος ἐφ' ᾧ προσανακλάεσθαι καὶ τὰ καθ'
but lying-exposed for which to-weep-besides and the(-things) by
αὐτὸν ἕκαστον ὀλοφύρεσθαι, ἔλεον αὐτοὺς ἀνόνητον ἐλεῶ.
himself each to-lament pity them useless I-pity
καὶ πρόσεστι τὸ αἰσχύνεσθαι ὅτι πολίτην ἄνδρα χρησάμενον
and is-added the to-be-ashamed that citizen man having-met-with
συμφοραῖς καὶ κλαπέντα χρυσίον δημόσιον, ἀπαιτήσας
misfortunes and having-been-robbed-of gold public having-demanded
στατῆρας ὑπὲρ μυρίους, ἔγνωκεν ἀναβολὴν μὴ διδοὺς
staters above ten-thousand has-resolved delay not giving
ἀποκτεῖναι διὰ χιλίους, μᾶλλον δὲ δι' ἐμέ· δι' ἐμὲ
to-kill because-of a-thousand rather but because-of me because-of me
γὰρ αὐτὸν ἔχει καθείρξας εἰς ἀνεπιχείρητον φρούριον, ἐν
for him he-has having-shut-up in impregnable fort in
οἵῳ τοὺς Τιτᾶνας δεδέσθαι ποιητῶν παῖδες φαντάζονται.
such-as the Titans to-be-bound of-poets children imagine
καὶ ἵνα μὴ ἀφαιρεθῇ, φησί, παρ' ἐμοῦ, δεῖ
and that not he-may-be-taken-away he-says from me it-is-needful
πέμπτην ταύτην ἡμέραν ἀπόσιτον εἶναι τὸν ἄνθρωπον,
fifth this day fasting to-be the man
εἰσαγωγῆς ἄρτων ἀπηγορευμένης τοῖς δεσμοφύλαξιν.
of-bringing-in of-loaves having-been-forbidden to-the jailers
ἀλλὰ πρώην αὐτοῦ κεκραγότος ἅπαντες ἤκουσαν ὡς
but lately him having-shouted all heard that
ὠφελιμώτερος ἔσται τῶν χιλίων στατήρων ἀποθανὼν
more-profitable will-be than-the thousand staters having-died
ὁ πολιτευόμενος. διὸ καὶ τοὺς προσιόντας αὐτῷ ἐπὶ
the councilor wherefore also the(-ones) approaching him for

τῇ τῶν χωρίων ὠνῇ φοβεῖ καὶ ταράττει καὶ πάντα
the of-the estates purchase he-frightens and troubles and every
τρόπον ἀφίστησιν· οὐ γάρ, οἶμαι, δεῖ τοῦ χρυσίου,
way he-drives-off not for I-think there-is-need of-the gold
τοῦ δὲ τεθνάναι τὸν ἄνθρωπον δεῖ. ἐγὼ δὲ οὔτε
of-the but to-be-dead the man there-is-need I but neither
ἰσχυρός εἰμι πρὸς τὸ τείχεσιν ἐρυμνοῖς προσβαλεῖν, οὔτ'
strong am for the walls strong to-attack nor
εὐμήχανος εἰσερπύσαι καὶ τῆς συμφορᾶς ἐξελέσθαι τὸν
resourceful to-creep-in and from-the misfortune to-take-out the
ἄνθρωπον. παρίησι δέ, φασί τινες, οὐδεὶς οὐδένα· οἱ γὰρ
man lets-in but say some nobody anybody the for
ὑπηρέται φύσει μέν εἰσιν οἵτινές εἰσι, νῦν δὲ καὶ πρὸς
servants by-nature indeed are whoever they-are now but also by
παράδειγμα ζῶσιν Ἀνδρόνικον, ὃς ἐπὶ τῷ τὴν ἐκκλησίαν
example live Andronicus who for the the church
ἀτιμοῦν προκαθέζεται. τῶν μὲν οὖν εἰς ἡμᾶς αὐτοῦ
to-dishonor presides of-the(-things) indeed then against us his
λόγος οὐδείς· ὡς ἐγὼ κἂν χάριν εἰδείην αὐτῷ τὴν διὰ
account none as I also thanks would-know to-him the because-of
τὸν θεὸν ἀτιμίαν δεχόμενος ὡς μαρτύριον. ἀναμνήσθητε
— god dishonor receiving as martyrdom remember
γὰρ ὑμεῖς τίς ἦν πρὸς ἐμὲ τὸν εἰ μηδὲν ἄλλο,
for you what-sort he-was toward me the(-one) if nothing other
ἐξ ἐκείνων γενόμενον, ὧν ἀπ' Εὐρυσθένους τοῦ
from those having-been-born of-whom from Eurysthenes the(-one)
καταγαγόντος Δωριέας εἰς Σπάρτην μέχρι τοὐμοῦ πατρὸς
having-brought-back Dorians to Sparta until of-my father
αἱ διαδοχαὶ ταῖς δημοσίαις ἐνεκολάφθησαν κύρβεσιν,
the successions on-the public were-engraved tablets
ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ
man not able to-tell name of-grandfather but not-even

πατρός, φασί, πλὴν ὅσον εἰκάσαι, ἀπὸ θυννοσκοπείου
of-father they-say except so-far to-guess from tunny-watch-tower
δὲ ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἁλάμενος. οὗτος οὖν τὴν
but onto the governor's carriage having-leapt this-one then the
ἐν τῇ πόλει λαμπρότητα τεθαυμακὼς αἰσχυνέσθω τοῖς
in the city splendor having-admired let-him-be-ashamed of-the
ἐλλείμμασιν· ἀλλ' ἐγὼ τὸ μέχρι τῆς ἱερωσύνης καὶ τιμῆς
deficiencies but I the until the priesthood also with-honor
ἐνεφορήθην καὶ ἀτιμίας οὐκ ἀπεγευσάμην. νυνὶ δὲ οὔτ'
was-filled and of-dishonor not I-tasted now but neither
ἂν ἡσθείην τιμώμενος, οὔτε καταφρονούμενος ἄχθομαι·
— I-would-be-pleased being-honored nor being-scorned I-am-vexed
οὐδέτερον γὰρ αὐτῶν ἔτι παρὰ τοῦ ποιοῦντος εἰς ἐμὲ
neither for of-them still from the(-one) doing toward me
δοκεῖ γίνεσθαι, ἀλλ' ἑκάτερον εἰς ἀναφορὰν τοῦ θεοῦ. διόπερ
seems to-happen but each for reference — of-god wherefore
ὁ πάντα τολμῶν οὗτος ἄνθρωπος, ὡς οὐδὲν οὔτε λέγων
the all-things daring this man as nothing either saying
οὔτε ποιῶν παρεκίνησεν, ἀρθεὶς ἀφ' ἡμῶν αὐτῷ
or doing he-provoked having-been-lifted-up from us very
διακυρίττεται τῷ θεῷ, καὶ φωνὰς ἀφῆκεν ἐπὶ συνεστώτων
butts-against — god and voices he-let-out among standing-together
καὶ περιεστώτων ἀνθρώπων, ἃς αὐτίκα τῆς πρὸς τὰς
and standing-around men which presently of-the to the
ἁπανταχοῦ γῆς ἐκκλησίας ἐπιστολῆς ἀναγινωσκομένης
of-everywhere earth churches letter being-read
ἀκούσεσθε. τοιοῦτόν ἐστι φύσις ἀπαίδευτος ἐπειλημμένη
you-will-hear such is nature uneducated having-laid-hold-on
δυνάμεως· τῇ κεφαλῇ τὸν οὐρανὸν ἐξαράσσειν ἐπιχειρεῖ.
of-power with-the head the heaven to-dash-against he-attempts
ἔστω, δυνάσθω, κεχρήσθω τῇ φύσει τῷ καιρῷ,
let-it-be let-him-have-power let-him-use the nature the opportunity

ἀποκτιννύτω καὶ δείτω τῶν πολιτῶν ὅντινα βούλεται·
let-him-kill and let-him-bind of-the citizens whomever he-wishes
ἡμῖν δὲ ἀπόχρη μένουσιν ἐπὶ τῆς τάξεως ἐφ' ἧς ἡμᾶς
to-us but it-suffices remaining at the post at which us
ἔταξεν ὁ θεός, ἀπηλλάχθαι μὲν τῆς κοινωνίας τῶν
posted — god to-be-rid indeed of-the fellowship of-the
πονηρῶν, ἁγνεῦσαι δ' ἀκοὰς βλασφημοσύνης ἀλεγεινῆς,
wicked to-keep-pure but ears of-blasphemy grievous
ἀπογνῶναι δὲ προστασίας ἀδικουμένων, ἀπολελογημένοις
to-renounce but patronage of-the-wronged having-made-our-defense
ὑμῖν καὶ τῷ δήμῳ διὰ τῆς μάτην ἐπιχειρήσεως. ὃ
to-you and to-the people through the vain attempt which
νοῦ μέγεθος ἔχοντος ἦν καὶ πρὸ πείρας ποιῆσαι· νυνὶ
of-mind greatness having was also before trial to-do now
δὲ περιεμείναμεν ὑμᾶς ἐκ τῶν πραγμάτων συμψήφους
but we-waited-for you from the affairs fellow-voters
ποιήσασθαι, ὅτι πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν
to-make that civic virtue to-priesthood to-join
συγκλώθειν ἐστὶ τὰ ἀσύγκλωστα.
to-spin-together is the(-threads) not-to-be-spun-together
Ὁ πάλαι χρόνος ἤνεγκε τοὺς αὐτοὺς ἱερέας τε καὶ κριτάς·
the of-old time brought the same priests both and judges
καὶ γὰρ Αἰγύπτιοι καὶ τὸ Ἑβραίων ἔθνος χρόνον συχνὸν
and for Egyptians and the of-Hebrews nation time long
ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. εἶτ' ἐπειδή μοι δοκεῖ τὸ
by the priests were-ruled-as-kings then since to-me it-seems the
θεῖον ἔργον ἀνθρωπίνως ἐπράττετο, διῴκισεν ὁ θεὸς τοὺς
divine work humanly was-done separated — god the
βίους, καὶ ὃ μὲν ἱερὸς ὃ δὲ ἡγεμονικὸς ἀπεδείχθη·
lives and the(-one) indeed holy the(-other) but governing was-shown
τοὺς μὲν γὰρ εἰς ὕλην ἐπέστρεψε, τοὺς δὲ συνέταξεν
the(-ones) indeed for to matter he-turned the(-ones) but he-ranged

ἑαυτῷ. τετάχαται δὲ οἱ μὲν πρὸς τοῖς πράγμασιν
with-himself they-have-been-ranged but the(-ones) indeed at the affairs
ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς εἶναι, τὸ δὲ καλὸν ἀπαιτεῖ παρ᾽
we but in the prayers to-be the but good demands from
ἀμφοῖν ὁ θεός. τί οὖν ἐπανάγεις; τί δὲ συνάπτειν πειρᾷ
both — god why then do-you-bring-back why but to-join do-you-try
τὰ κεχωρισμένα παρὰ θεοῦ, ὃς οὐδὲ διοικεῖν
the(-things) having-been-separated by god you-who not-even to-administer
ἡμᾶς ἀλλὰ παραδιοικεῖν ἀξιοῖς, οὗ τί γένοιτ᾽ ἂν
us but to-mis-administer think-fit than-which what would-be —
ἀθλιώτερον; προστάτου σοι δεῖ; βάδιζε παρὰ τὸν
more-wretched of-patron to-you is-there-need go to the(-one)
ἐπιτροπεύοντα τῶν νόμων τῆς πολιτείας. τοῦ θεοῦ σοί
guarding the laws of-the state — of-god to-you
τι δεῖ; ἴθι παρὰ τὸν ἱερέα τῆς πόλεως, οὐχ ὡς ἐνταῦθ᾽
any need go to the priest of-the city not as here
ἐνὸν τὸ πάντως ἐπιτυχεῖν, ἀλλ᾽ ὡς ἐγὼ προθυμήσομαι.
being-possible the wholly to-succeed but as I will-be-zealous
ἂν δ᾽ ἐπιτρέπῃ τις ἠρεμεῖν, τάχα ποτὲ καὶ δυνήσομαι·
if but permits anyone to-be-quiet perhaps sometime also I-shall-be-able
ἅμα γάρ τις ἀποστρέφεται τὴν ὕλην καὶ πρὸς
at-the-same-time for anyone turns-away-from the matter and toward
θεὸν ἐπιστρέφεται. θεωρία τέλος ἐστὶν ἱερωσύνης μὴ
god turns contemplation end is of-priesthood not
ψευδομένης τὸ ὄνομα, θεωρία δὲ καὶ πρᾶξις οὐκ ἀξιοῦσι
falsifying the name contemplation but and action not deign
συγγίνεσθαι. ὁρμὴ μὲν γὰρ ἀρχὴ πράξεων, οὐδεμία δὲ
to-consort impulse indeed for beginning of-actions none but
ἀπαθής ἀλλὰ δεῖ κενὴν εἶναι παθῶν τὴν ψυχὴν τὴν
passionless but it-is-needful empty to-be of-passions the soul the(-soul)
μέλλουσαν ἔσεσθαι δοχεῖον θεοῦ· μὴ καθαρῷ γάρ φησι
going to-be receptacle of-god not for-pure for he-says

καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. σχολάσατε καὶ
the-pure to-touch lest not lawful it-be be-at-leisure and
γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός. σχολῆς δεῖ τῷ μετὰ
know that I am — god of-leisure there-is-need for-the(-one) with
φιλοσοφίας ἱερατεύοντι. οὐ καταδικάζω τῶν ἐπισκόπων
philosophy serving-as-priest not I-condemn of-the bishops
τοὺς ἐν τοῖς πράγμασιν, ἀλλ᾽ ἐμαυτὸν εἰδὼς μόλις εἰς
the(-ones) in the affairs but myself knowing scarcely to
θάτερον ἐξικνούμενον ἄγαμαι τῶν δυναμένων ἑκάτερα.
the-one reaching I-admire the(-ones) able both-things
ἐμοὶ δύναμις οὐκ ἔστι δυσὶ κυρίοις δουλεύειν. εἰ δ᾽ εἰσί τινες
to-me power not is to-two lords to-be-slave if but are some
οἳ μηδ᾽ ἀπὸ τῆς συγκαταβάσεως βλάπτονται, δύναιντ᾽
who not-even from the condescension are-harmed they-could
ἂν καὶ ἱερᾶσθαι καὶ πόλεων προστατεῖν. ἀκτὶς ἡλίου κἂν
— both be-priests and of-cities be-patrons ray of-sun even-if
ὁμιλήσῃ βορβόρῳ, μένει καθαρὰ καὶ ἀμόλυντος· ἐγὼ δὲ
it-consorts with-mud remains pure and undefiled I but
ταὐτὸ τοῦτο παθὼν πηγῶν καὶ θαλάττης δεήσομαι,
the-same this having-suffered of-springs and of-sea shall-need
καὶ εἰ δυνατὸν ἦν ἀγγέλῳ πλεῖν ἢ τριάκοντα ἐνιαυτοὺς
and if possible were for-an-angel more than thirty years
ἐνανθρωπήσαντι μηδὲν ἀπολαῦσαι τῆς ὕλης κακὸν εἰς
having-become-man nothing to-reap of-the matter evil to
προσπάθειαν, τί ἔδει καταβῆναι τὸν υἱὸν τοῦ θεοῦ;
attachment why was-it-needful to-come-down the son — of-god
ἀλλ᾽ ἔστι περιουσία δυνάμεως ὁμιλοῦντα τοῖς χείροσι
but it-is abundance of-power consorting with-the worse
μένειν ἐπὶ τῆς φύσεως καὶ μηδένα τρόπον παθαίνεσθαι.
to-remain in the nature and in-no way to-be-affected

τοῦτο θεοῦ μὲν ὕμνος ἐστίν, ἀνθρώπῳ δὲ παραίτησις
this of-god indeed hymn is for-man but excuse
γίνεται διευλαβουμένῳ τῆς φύσεως αὐτοῦ τὴν ἀσθένειαν.
becomes being-very-wary-of of-the nature his the weakness
κατὰ τούτους ὑμῖν ἐγὼ τοὺς ὅρους συνέσομαι. οὐ μὴν
according-to these to-you I the terms will-be-with not however
τό γε κρίνειν καιροὺς ἐμαυτὸν ἀφαιρήσομαι, ὡς ὅταν
the at-least to-judge occasions myself I-shall-deprive so-that when
ἐξῇ κατιόντα κατιέναι, τοῦτ' ἔστι διὰ τῆς τυχούσης
it-is-allowed descending to-descend that is through the chance
ἐπιστροφῆς ἀγαθόν τι μέγα ποιεῖν. οὕτω καὶ ὁ θεὸς
turning good some great to-do so also — god
πολιτεύεται. τὸ προστετηκέναι δέ ἐστι τὸ δεινόν, οὗ
governs the to-have-melted-onto but is the terrible-thing which
μήτε θεοῦ φύσις ἀνέχεται, μήτε ὅστις ἑαυτὸν ἀπευθύνει
neither of-god nature endures nor whoever himself directs
πρὸς θεόν. εἰ γέγονα χρημάτων ἢ κτημάτων ἐπιμελητής,
toward god if I-have-become of-moneys or of-possessions steward
εἰ σύνιστέ μοι λογισμοὺς δεχομένῳ τῆς καθ' ἡμέραν ἢ
if you-know-with me accounts receiving of-the by day or
τῆς κατ' ἔτος δαπάνης, εἶτα ἐν τοῖς ὑμετέροις τοῦ χρόνου
of-the by year expense then in the yours the time
φείδομαι, ἀλαζών εἰμι, καὶ οὐκ ἀξιῶ συγγινώσκεσθαι·
I-spare boaster I-am and not I-deem-fit to-be-pardoned
εἰ δὲ ἀμελήσας τῶν οἴκοι πρότερον τῇ κατὰ νοῦν
if but having-neglected the(-things) at-home before to-the according-to mind
ἐνεργείᾳ συνέταξα τὴν ζωήν, τί δεινὸν εἰ τῶν ἴσων
activity I-ranged the life what terrible if the equal-things
ὑμᾶς ἀξιῶ; ἀλλ' ἐπεὶ τούτοις ὑμᾶς οὐκ ἀρέσκομεν, ὡς
you I-ask but since in-these you not we-please as
ὄντων ἑτέρων οἳ δύνανται κατὰ ταὐτὸν ἐν ἀμφοῖν εὖ
being others who are-able at the-same in both well

διαγίνεσθαι, ἔξεστι βουλεύσασθαι τὸ λῷον τῇ τε πόλει
to-get-on it-is-allowed to-take-counsel-on the better for-the both city
καὶ ταῖς ἐκκλησίαις κἀμοί. οὐκ ἐξομοῦμαι τὴν ἱερωσύνην·
and the churches and-for-me not I-will-abjure the priesthood
μήποτε δυνηθείη τοσοῦτον Ἀνδρόνικος. ἀλλ' ὥσπερ οὐδὲ
never may-he-be-able so-much Andronicus but as not-even
φιλόσοφος ἐγενόμην δημόσιος, οὐδὲ θεατροκοπίαις ἐπεθέμην,
philosopher I-became public nor theatrical-performances undertook
οὐδὲ διδασκαλεῖον ἤνοιξα (καὶ οὐδὲν ἧττον ἦν τε καὶ
nor school opened and nothing less I-was both and
εἴην φιλόσοφος), οὕτως οὐδ' ἱερεὺς δημόσιος εἶναι
may-I-be philosopher so not-even priest public to-be
βούλομαι. οὐχ ἅπας ἅπαντα δύναται. ἐγὼ συγγινόμενος
I-wish not every-man all-things can I consorting
ἐμαυτῷ καὶ διὰ νοῦ τῷ θεῷ, καταβὰς ἀπὸ θεωρίας
with-myself and through mind — with-god having-come-down from contemplation
δύναμαι συνουσίας ποιεῖσθαι οὐκ ἀχρήστους πρὸς ἕνα καὶ
am-able conversations to-make not useless with one and
δύο· καὶ οὐδὲ τούτους ἀγελαίους, ἀλλ' οἵτινες εἶεν
two and not-even these of-the-herd but whoever they-may-be
ἢ φύσεως λαχόντες ἢ ἀγωγῆς εὐτυχήσαντες, ὥστε
either of-nature having-received or of-upbringing having-been-fortunate so-as
νοῦν τεθαυμακέναι πρὸ σώματος. ἀλλὰ καὶ διὰ πολλοῦ
mind to-have-admired before body but also through long
πραγμάτων ἁπτόμενος μετὰ τῆς ἐμαυτοῦ ῥᾳστώνης,
of-affairs touching with the of-myself ease
γενοίμην ἂν τῷ καιρῷ χρήσιμος· καταχωννύμενος δὲ ὑπ'
I-would-become — to-the occasion useful being-buried but by
αὐτῶν ἐμαυτοῦ τε ἐπιλήσμων εἰμὶ καὶ τῶν πραγμάτων
them of-myself both forgetful am and to-the affairs
ζημίαν ποιῶ· οὐ γάρ ἐστι μισοῦντα καλῶς τι ποιεῖν.
harm I-do not for it-is-possible hating well anything to-do

ἀλλ᾽ ὁ μὴ πάσῃ τῇ γνώμῃ δεδογμένα ποιῶν
but the(-one) not with-all the judgment having-been-decided(-things) doing
ἄθυμος ἔρχεται πρὸς τὴν πρᾶξιν ἧς προστῆναι δεῖ·
disheartened goes to the action which to-preside-over it-is-needful
ὅστις δὲ πρὸς μὲν σχολὴν ἀνοικείως ἔχει, καὶ οὐκ
whoever but toward indeed leisure unfamiliarly is-disposed and not
ἔστιν ὅπως ἂν τῷ σχολάζοντι χρήσαιτο, αὐτὸ δὲ τὸ πᾶν
is how — the being-at-leisure he-could-use it but the whole
ὅπερ ἐστὶ δημωφελέστατος ἄνθρωπος πολυχωροτάτη ψυχὴ
which is most-useful-to-the-people man most-capacious soul
ταῖς ἁπάντων ἀρκοῦσα φροντίσιν, ὅστις δὴ πέφυκεν
for-the of-all sufficing cares whoever indeed is-by-nature
οὕτω καὶ βούλεται, ὁ τοιοῦτος κἂν χάριν εἰδείη ταῖς
so and wishes the such-a-man also thanks would-know to-the
ἑλκούσαις αὐτὸν ἐφ᾽ ἑαυτὰς περιστάσεσιν· ὑποθέσεις γὰρ
drawing him to themselves circumstances occasions for
αὐτοῦ τῇ φύσει πορίζονται, καὶ μέγιστον εἰς τὸ κατορθοῦν
his the nature are-provided and greatest for the succeeding
ἐφόδιον ἡ φιλία τοῦ πράγματος. αἱρετέος οὖν ἅπασιν
provision the love of-the thing to-be-chosen then by-all
ἡμῖν ὁ λυσιτελέστερος ἄνθρωπος, καὶ ἀνθαιρετέος ἡμῶν
us the more-profitable man and to-be-chosen-instead of-us
οἳ μόλις μόνοι σωζόμεθα. τί κεκράγατε; οὐ διότι μήπω
who scarcely alone are-saved why have-you-shouted not because not-yet
γέγονεν, ἄξιόν ἐστι μηδὲ νῦν γενέσθαι; πολλὰ τῶν
it-has-happened worthy is-it not-even now to-happen many of-the
δεόντων ὁ χρόνος ἐξεῦρε καὶ κατωρθώσατο. οὐχ ἅπαντα
needful-things the time discovered and accomplished not all-things
πρὸς παράδειγμα γίνεται. καὶ τῶν γενομένων ἕκαστον
by example happen and of-the(-things) having-happened each
ἀρχὴν ἔσχε, καὶ πρὶν γενέσθαι μήπω γενόμενον ἦν.
beginning had and before to-happen not-yet having-happened was

ἀξιώτερόν ἐστι προτιμηθῆναι τῆς συνηθείας τὸ χρήσιμον.
more-worthy it-is to-be-preferred than-the custom the useful
ἡμεῖς ἀρχὴν δῶμεν ἔθει βελτίονι. ἀνθαιρετέος οὖν
we beginning let-us-give to-custom better to-be-chosen-instead then
ἡμῶν ἢ μεθ' ἡμῶν αἱρετέος, πάντως δὲ αἱρετέος ὁ
of-us or with us to-be-chosen wholly but to-be-chosen the
ἄνθρωπος. ὅστις ἂν ᾖ, πάντως ἐμοῦ τὰ πολιτικὰ
man whoever — he-may-be wholly than-me the civic
μακρῷ φανεῖται σοφώτερος, καὶ δυνήσεται τὰ δύστηνα
by-far will-appear wiser and will-be-able the wretched
ταῦτ' ἀνθρώπια ὑπὲρ ὑμῶν ἐξομιλεῖν καὶ μεταχειρίζεσθαι.
these mannikins for you to-deal-with and to-handle
οὐκοῦν εἰ μήπω δοκεῖ, τοῦτο μὲν ἐσαῦθις ἀναθώμεθα·
therefore if not-yet it-seems-good this indeed hereafter let-us-defer
ἔξεστι γὰρ ὑπὲρ αὐτοῦ κατὰ μόνας καὶ μετ' ἀλλήλων
it-is-allowed for about it by alone and with one-another
βουλεύσασθαι. νυνὶ δὲ οἷς τὸ συνέδριον μετῆλθε τὴν
to-take-counsel now but with-what the synod pursued the
Ἀνδρονίκου μανίαν ἀκούσατε.
of-Andronicus madness hear

To the bishops he excommunicates Andronicus and his henchman Thoas, not for the tortures Andronicus brought to Pentapolis but for blasphemy: edicts nailed to the church door barring sanctuary, and the boast that none would escape him though he held Christ's foot. No sanctuary shall open to them, no priest greet or bury them, and whoever receives them shares their portion. He commends a rhetor to Anysius, makes peace with Auxentius, sends Pylaemenes a carpet promised to Asterius, and praises Marcellinus, out of office. He asks Theophilus whether Alexander, ordained by John to a Bithynian see and three years after the reconciliation still among them, is a bishop.

58

Τοῖς ἐπισκόποις

to-the bishops

Ἀνδρόνικον τὸν Βερονικέα, τὸν κακῇ Πενταπόλεως
Andronicus the Beronician the(-one) in-evil of-Pentapolis
μοίρᾳ καὶ φύντα καὶ τραφέντα καὶ αὐξηθέντα
lot both having-been-born and having-been-reared and having-grown
καὶ τὴν ἀρχὴν τῆς ἐνεγκούσης αὐτὸν ὠνησάμενον
and the rule of-the(-land) having-borne him having-bought
μήτε ἡγείσθω τις μήτε καλείτω Χριστιανόν, ἀλλ' ὡς
neither let-consider anyone nor let-call Christian but as
ἀλιτήριος ὢν τοῦ θεοῦ πάσης ἐκκλησίας ἀπεληλάσθω
accursed being — of-god from-every church let-him-be-driven
πανέστιος, οὐ διότι γέγονε Πενταπόλεως ἐσχάτη
with-all-his-house not because he-has-become of-Pentapolis last
πληγή, μετὰ σεισμὸν μετὰ ἀκρίδα μετὰ λοιμὸν μετὰ
plague after earthquake after locust after pestilence after
πῦρ μετὰ πόλεμον ἀκριβῶς ἐπεξελθὼν τοῖς ἐκείνων
fire after war thoroughly having-followed-up the of-those

ἐγκαταλείμμασιν, ἄτοπα κολαστηρίων γένη καὶ σχήματα
leavings strange of-punishments kinds and forms
πρῶτος εἰς τὴν χώραν εἰσενεγκών (εἴη δὲ εἰπεῖν ὅτι
first into the country having-introduced may-it-be but to-say that
καὶ μόνος χρησάμενος), δακτυλήθραν καὶ ποδοστράβην καὶ
also alone having-used finger-press and foot-rack and
πιεστήριον καὶ ῥινολαβίδα καὶ ὠτάγραν καὶ χειλοστρόφιον,
squeezer and nose-pincers and ear-trap and lip-twister
ὧν οἱ προλαβόντες τὴν πεῖράν τε καὶ θέαν καὶ τῷ
of-which the(-ones) having-forestalled the trial both and sight and in-the
πολέμῳ προαπολόμενοι παρὰ τῶν κακῶς περισωθέντων
war having-perished-first by the(-ones) wretchedly having-survived
ἐμακαρίσθησαν, ἀλλ᾽ ὅτι πρῶτος παρ᾽ ἡμῖν καὶ μόνος
were-called-blessed but because first among us and alone
ἔργῳ καὶ λόγῳ τὸν Χριστὸν ἐβλασφήμησεν· ἔργῳ μέν, ἀφ᾽
in-deed and in-word — Christ blasphemed in-deed indeed from
οὗ τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπαττάλευσεν ἑαυτοῦ
when on-the door of-the church he-nailed his-own
διατάγματα, τοῖς μὲν ὑπ᾽ αὐτοῦ παρανομουμένοις τῆς
edicts to-the(-ones) indeed by him being-wronged from-the
ἀσύλου τραπέζης ἀποκλείων τὴν ἱκετείαν, ἀνατεινόμενος
inviolable table shutting-out the supplication threatening
δὲ τοῖς ἱερεῦσι τοῦ θεοῦ ταῦτα ἃ κἂν Φάλαρις ὁ
but the priests — of-god these-things which even Phalaris the
Ἀκραγαντῖνος κἂν Κεφρὴν ὁ Αἰγύπτιος κἂν Σεναχηρεὶμ ὁ
Acragantine even Chephren the Egyptian even Sennacherib the
Βαβυλώνιος ὤκνησεν, ὁ πέμψας εἰς Ἱερουσαλὴμ
Babylonian would-have-shrunk-from the(-one) having-sent to Jerusalem
τοὺς ὀνειδιοῦντας Ἐζεκίᾳ καὶ τῷ θεῷ. ἐκείνην ἐγὼ τὴν
the(-ones) reviling Hezekiah and — god that I the
ἡμέραν ἐνηνοχέναι φημὶ τὸν δεύτερον σταυρὸν τοῦ θεοῦ· ἐπὶ
day to-have-borne I-say the second cross — of-god for

γὰρ ὀνειδισμῷ τοῦ Χριστοῦ τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ
for reproach — of-Christ the abusive that book from
τῆς ἱερᾶς θύρας ἐκρέματο. καὶ ταῦτα ἐπεῖδεν ἥλιος, καὶ
the holy door hung and these-things beheld sun and
ἀνέγνωσαν ἄνθρωποι, οὐ Τιβερίου Κλαυδίου τῆς πολιτείας
read men not of-Tiberius Claudius the state
ἐπιτροπεύοντος, ὑφ' οὗ Πιλάτος ἐπὶ τὴν Ἰουδαίων
governing under whom Pilate to the of-Jews
ἡγεμονίαν ἐστάλη, ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ
government was-sent but the pious of-Theodosius line the
σκῆπτρα Ῥωμαίων ἐχούσης, ἀφ' ἧς ἔλαθεν Ἀνδρόνικος
scepters of-Romans having from which escaped-notice Andronicus
ἑαυτῷ μνηστεύσας ἀρχὴν ὑπὸ τῷ Πιλάτου φρονήματι.
for-himself having-wooed rule under the of-Pilate spirit
γέλως ἦν τοῖς παριοῦσι τῶν ἑτεροδόξων τὰ γράμματα,
laughter it-was to-the(-ones) passing of-the heterodox the letters
καθάπερ Ἰουδαίοις τὰ παραγεγραμμένα τῷ σταυρῷ
as to-Jews the(-words) having-been-written-beside the cross
τοῦ Χριστοῦ. καίτοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς
— of-Christ and-yet the inscription of-the cross having-come
ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ
from mind not pious solemn was on word through which
βασιλεὺς ὁ Χριστὸς ἐκηρύττετο· ἐνταῦθα δὲ ἡ γλῶττα
king — Christ was-proclaimed here but the tongue
τῇ γνώμῃ συνέβαινε. τὰ δὲ δὴ μετὰ ταῦτα τῶν
with-the mind agreed the(-things) but indeed after these-things than-the
πρώην ἐστηλιτευμένων βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινὰ
lately having-been-posted heavier since for he-was some
κατ' ἐχθροῦ πρόφασιν εὑρόμενος (ἔχθρα δὲ ἦν αὐτοῖς,
against enemy pretext having-found enmity but was to-them
ὅτι γάμους ὁ μὲν ἐσπούδαζεν ὁ δὲ ἐκώλυεν),
because marriage the(-one) indeed was-eager-for the(-other) but prevented

ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ἠκίζετο, ἃ
on-those him the abominable punishments he-tortured which
μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου, μετ' αὐτοῦ
not may-they-be-handed-down to-the succession of-the time with him
δὲ ὥσπερ ἤρξατο παύσαιτο, καὶ γένοιτο τοῖς μεθ'
but as they-began may-they-cease and may-become to-the(-ones) after
ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας Ἀνδρονίκου συνθήματα.
us hearsay these of-the rule of-Andronicus tokens
ἐπειδὴ οὖν ἀνὴρ εὐγενής, οὐκ ἀδικῶν ἀλλ' ἀτυχῶν,
since then man noble not doing-wrong but being-unfortunate
ὑπ' αὐτοῖς κατετείνετο, καὶ ταῦτα τῷ τῆς μεσημβρίας
under them was-racked and these-things in-the of-the midday
ἐδρᾶτο σταθερωτάτῳ, ἵν' ὑπὸ μόνοις μάρτυσι τοῖς
was-done most-settled that under only witnesses the
δημίοις ἀπόλοιτο, καὶ τὴν ἐκκλησίαν ἔγνω γινομένην αὐτῷ
executioners he-might-perish and the church he-knew becoming to-him
συμπαθῆ, κατ' ἄλλο μὲν οὐδέν, ὅτι δὲ μαθόντες εὐθὺς ὡς
sympathetic in other indeed nothing that but having-learned straightway as
εἴχομεν ἐξεδράμομεν ἐφ' ᾧ παρακαθιζῆσαι καὶ συνδιενέγκαι
we-were we-ran-out for which to-sit-beside and to-bear-with
τὴν συμφοράν, λυττᾷ πρὸς τὴν ἀκοὴν εἴ τις ἐπίσκοπος
the misfortune he-raves at the hearing if any bishop
ὢν ἐλεῆσαι τετόλμηκεν ἄνθρωπον ἀπηχθημένον αὐτῷ. καὶ
being to-pity has-dared man having-been-hated by-him and
πολλὰ καὶ παράνομα νεανιευσάμενος, τοῦ θρασυτάτου τῶν
many-things and lawless having-done-insolently the most-audacious of-the
ὑπηρετῶν Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ χρῆται πρὸς τὰς
servants Thoas him provoking whom he-uses for the
δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέθηκε τῇ μανίᾳ τὴν
public misfortunes instrument end he-put to-the madness the
ἀθεωτάτην φωνήν, εἰπὼν ὅτι μάτην ἐπὶ τὴν ἐκκλησίαν
most-godless utterance having-said that in-vain on the church

ἤλπισε, καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν Ἀνδρονίκου
he-had-hoped and nobody — would-be-taken-out-of the of-Andronicus
χειρῶν, οὐδ' ἂν εἴ τις τὸν πόδα κρατήσειεν αὐτοῦ τοῦ
hands even — if anyone the foot should-grasp of-very —
Χριστοῦ. ταύτην ἀπαιδεύτῳ γνώμῃ καὶ γλώττῃ τρὶς
Christ this with-uneducated mind and tongue three-times
ἀνεφθέγξατο τὴν φωνήν, μεθ' ἣν οὐκέτι νουθετητέος ὁ
he-uttered the utterance after which no-longer to-be-admonished the
ἄνθρωπος, ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος
man but as limb incurably being to-be-cut-off
ἡμῶν, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ ὑγιαῖνον συμφθείρηται.
by-us that not by-the fellowship also the sound be-corrupted-together
ὁ γὰρ μολυσμὸς διαδόσιμος γίνεται, καὶ ὁ θιγὼν
the for pollution transmissible becomes and the(-one) having-touched
ἐναγοῦς ἀπολαύει τῆς προστροπῆς. δεῖ δὲ εἶναι καὶ
the-accursed partakes of-the defilement it-is-needful but to-be both
γνώμῃ καὶ σώματι καθαροὺς τῷ θεῷ. ἐπὶ τούτοις ἡ
in-mind and in-body pure — for-god on these-things the
Πτολεμαΐδος ἐκκλησία τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς
of-Ptolemais church these-things to the of-everywhere earth
ἑαυτῆς ἀδελφὰς διατάττεται.
her-own sisters ordains
Ἀνδρονίκῳ καὶ τοῖς αὐτοῦ καὶ Θόαντι καὶ τοῖς
to-Andronicus and to-the(-ones) his and to-Thoas and to-the(-ones)
αὐτοῦ μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ θεοῦ· ἅπας αὐτοῖς
his no let-be-opened precinct — of-god every to-them
ἱερὸς ἀποκεκλείσθω καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι
holy-place let-be-shut and sanctuary and enclosure not there-is
τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ, ὃς κἂν λάθῃ
for-the devil part in paradise who even-if he-escapes-notice
διαδύς, ἐξελαύνεται. παραινῶ μὲν οὖν καὶ ἰδιώτῃ
having-slipped-in is-driven-out I-exhort indeed then both private-man

παντὶ καὶ ἄρχοντι μήτε ὁμωρόφιον αὐτῷ μήτε ὁμοτράπεζον
every and ruler neither under-one-roof with-him nor at-one-table
γίνεσθαι, ἱερεῦσι δὲ διαφερόντως, οἳ μήτε ζῶντας αὐτοὺς
to-become priests but especially who neither living them
προσεροῦσι μήτε τελευτήσαντας συμπροπέμψουσιν. εἰ δέ
will-address nor having-died will-escort if but
τις ὡς μικροπολῖτιν τὴν ἐκκλησίαν ἀποσκυβαλίσει καὶ
anyone as of-a-small-city the church shall-scorn and
δέξεται τοὺς ἀποκηρύκτους αὐτῆς, ὡς οὐκ ἀνάγκη τῇ
shall-receive the(-ones) outlawed by-her as not necessity for-the
πένητι πείθεσθαι, ἴστω σχίσας τὴν ἐκκλησίαν, ἣν
poor-one to-be-obeyed let-him-know having-split the church which
μίαν ὁ Χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε
one — Christ to-be wishes the but such either
λευίτης ἐστὶν εἴτε πρεσβύτερος εἴτε ἐπίσκοπος, παρ᾽ ἡμῖν
deacon is or presbyter or bishop with us
ἐν Ἀνδρονίκου μοίρᾳ τετάξεται, καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ
in of-Andronicus portion shall-be-ranged and neither shall-we-put to-him
δεξιάν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτὲ σιτησόμεθα, πολλοῦ δὲ
right-hand nor from the same ever shall-we-eat by-much but
δεήσομεν κοινωνῆσαι τῆς ἀπορρήτου τελετῆς τοῖς
we-shall-fall-short to-share of-the secret rite with-the(-ones)
ἐθελήσασιν ἔχειν μερίδα μετὰ Ἀνδρονίκου καὶ Θόαντος.
having-wished to-have portion with Andronicus and Thoas

59

Ἀνυσίῳ

to-Anysius

Ὧ δέδωκα τὴν ἐπιστολήν, εἰ καὶ φιλόσοφός ἐστι τὴν
to-whom I-have-given the letter if even philosopher he-is in-the
ψυχήν, ἀλλὰ ῥήτωρ τὴν τέχνην. ἕως μὲν οὖν Ἀνύσιός
soul but orator in-the art while indeed then Anysius
τε παρῆν καὶ Πεντάπολις ἦν, ἔτι παρ' ἡμῖν ταύτην
both was-present and Pentapolis was still among us this
εἰργάζετο· ἐπεὶ δὲ ὁ μετὰ σὲ χρόνος τοῖς πολεμίοις
he-practiced since but the after you time to-the enemies
ἡμᾶς ἀποδόμενος δικῶν εἰρήνην ἐποίησεν, ἔγνωκε πλεῖν
us having-sold-off of-lawsuits peace made he-has-resolved to-sail
εἰς ἑτέραν ἀγοράν, ὅπου γλῶττα ὤνιος, τὸ ῥητόρων
to other market where tongue is-for-sale the of-orators
ἀγώγιμον, τὸν ῥήτορα γνώριμον ποιεῖ. μνήστευσον αὐτῷ
merchandise the orator known makes woo for-him
φιλίαν ἀνδρὸς λαχόντος ἄρχειν ἐθνῶν, καὶ ναὶ μὰ τὸν
friendship of-man having-been-allotted to-rule nations and yes by the
φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃν αἰτήσεις τὴν χάριν,
of-friendship the(-god) mine both and yours whom you-will-ask the favor
εἴσεταί σοι χάριν, ὅταν ἐπανήκῃ μετὰ τὴν πεῖραν.
he-will-know to-you thanks when he-returns after the trial

60

Αὐξεντίῳ

to-Auxentius

Ἂν γράψωμαί σε φιλίας ἀδικουμένης, καὶ θεοῦ καὶ
if I-indict you for-friendship being-wronged both god and
θείων ἀνδρῶν δικαζόντων, ἁπάσαις αἱρήσῳ· τίς
divine men judging by-all you-will-be-convicted what
γὰρ παρενθήκη σοι γέγονα τῆς πρὸς τὸν ἀδελφὸν
for addition to-you have-I-become of-the toward the brother
δυσμενείας; ἐπειδὴ γὰρ ἐκεῖνος οὐδ' ἐμοὶ δοκοῦν
enmity since for he not-even to-me seeming-good
ἐπολιτεύετο κατὰ Σαββατίου τῷ μακαρίτῃ Φάῳ, σὺ
acted-politically against Sabbatius with-the late Phaus you
δὲ αὐτὸν λέγων οὐκ ἔπειθες, ἔτρεψας ἐπ' ἐμὲ τὴν
but him telling not you-persuaded you-turned on me the
ὀργήν, καὶ ἐποίεις κακὸν ὅσον ἐδύνω· κἀγώ (τότε γὰρ
anger and you-did evil as-much-as you-could and-I then for
ἐξῆν) ἐδεξάμην τὴν πρόκλησιν τῆς διαφορᾶς. νυνὶ δὲ
it-was-allowed accepted the challenge of-the quarrel now but
οὔτε ἔξεστιν οὔτε βούλομαι· ἥ τε γὰρ ἡλικία καλῶς
neither it-is-allowed nor I-wish the both for age well
ποιοῦσα μαραίνει μοι τὸ φιλότιμον καὶ ἱεροί, φασί, νόμοι
doing withers in-me the ambition and holy they-say laws
κωλύουσιν, ἅμα δὲ ὑπομιμνήσκομαι καὶ κοινῶν
prevent at-the-same-time but I-am-reminded both of-common
τροφῶν καὶ παιδείας καὶ τῆς ἐν Κυρήνῃ διατριβῆς,
nurture and of-education and of-the in Cyrene stay
ἃ χρὴ νομίσαι τῶν Σαββατίου δικῶν ἰσχυρότερα.
which it-is-needful to-think than-the of-Sabbatius lawsuits stronger
ἄρχου δὴ φιλίας ἀγαθοῦ πράγματος, καὶ χαῖρε παρ'
begin indeed of-friendship good thing and greetings from

ἐμοῦ, ζημίαν ἡγουμένου τὸν χρόνον ὃν ἐσιώπησα, πῶς
me loss who-count-as the time which I-was-silent how
οἴει καὶ τότε δακνόμενος; ἀλλ᾽ ἐνεκαρτέρουν ὡς οἷόν
think-you also then being-stung but I-held-out as possible
τε· τοιοῦτόν ἐστι τὸ διαφιλοτιμεῖσθαι κακόν.
— such is the to-contend-in-ambition evil

61

Πυλαιμένει

to-Pylaemenes

Δάπιδα μεγάλην τῶν Αἰγυπτίων, οὐχ οἵαν ὑποβεβλῆσθαι
carpet large of-the Egyptians not such-as to-be-laid-under
στρωμνῇ, ἀλλ᾽ οἵαν αὐτὴν εἶναι καὶ μόνην στρωμνήν,
bedding but such-as itself to-be also alone bedding
Ἀστέριος ὁ ταχυγράφος ἰδὼν ᾔτησε παρ᾽ ἡμῶν, ὁπηνίκα
Asterius the shorthand-writer having-seen asked from us when
με πρὸ τῶν μεγάλων ἀρχείων ἔδει καθεύδειν. ταύτην
me before the great offices it-was-needful to-sleep this
ὑπεσχόμην ἐξιὼν ἀπολείψειν αὐτῷ δῶρον· οὐ γὰρ
I-promised going-away to-leave to-him gift not for
ἦν πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενον τοιαῦτα
it-was-possible toward the of-Thracians snow risking such-things
χαρίζεσθαι. νῦν οὖν ἐκπέμπω, τότε γὰρ οὐ κατέλιπον· σὺ
to-give-away now then I-send-out then for not I-left-it you
δὲ δώσεις αὐτῷ μετὰ τῆς ἀπολογίας ἧς αὐτὸς ἔσῃ
but will-give to-him with the apology of-which you-yourself will-be
μάρτυς, ἂν ὑπομνησθῇς τοῦ καιροῦ, καθ᾽ ὃν ἀνεχώρουν
witness if you-are-reminded of-the season in which I-withdrew
τοῦ ἄστεος. ἔσειεν ὁ θεὸς τῆς ἡμέρας πολλάκις, καὶ πρὸς
from-the city shook — god in-the day often and at

ἱκετηρίαις ἦσαν οἱ ἄνθρωποι πρηνεῖς οἱ πλείους· τὸ γὰρ
supplications were the men prostrate the most the for
ἔδαφος ἐκραδαίνετο. ἐν ᾧ νομίσας ἐγὼ τὴν θάλατταν
ground quaked in which having-thought I the sea
τῆς γῆς ἀσφαλέστερον, κατατείνω δρόμον ἐπὶ τὸν
than-the land safer I-stretch race to the
λιμένα, μηδενὶ λόγον δοὺς ὅτι μὴ τῷ μακαρίτῃ Φωτίῳ,
harbor to-no-one account giving except for to-the late Photius
καὶ τοῦτον πόρρωθεν ἐγκραγών, καὶ τῇ χειρὶ σημήνας
and this-one from-afar having-shouted-to and with-the hand having-signaled
ὅτι οἰχήσομαι. ὁ δὲ Αὐρηλιανὸν φίλον ἄνδρα καὶ ὕπατον
that I-shall-be-gone he but Aurelian friend man and consul
ἀφεὶς ἀπροσαύδητον ἀπολελόγηται περὶ τῶν αὐτῶν πρὸς
having-left unaddressed has-made-his-defense about the same-things to
τὸν ὑπηρέτην Ἀστέριον. τότε μὲν οὖν οὕτως ἐγένετο· εἰ
the servant Asterius then indeed then so it-happened if
δὲ μετὰ τὴν ἐμὴν ἐκεῖθεν ἀποδημίαν τρίτον τουτονὶ στόλον
but after the my from-there departure third this voyage
ἡ ναῦς εἰς τἀπὶ Θρᾴκης χωρία στέλλεται, ἀλλὰ νῦν
the ship to the-in Thrace places is-sent but now
πρῶτον ὑπ᾽ ἐμοῦ στέλλεται. νῦν οὖν, ὅτε πρῶτον ἔξεστιν,
first by me is-sent now then when first it-is-allowed
ἀποδίδωμι διὰ σοῦ τὸ χρέος. χάρισαί μοι τὸν ἄνθρωπον
I-pay through you the debt do-the-favor for-me the man
ἐξευρών. τοὔνομα μὲν δὴ καὶ τὸ ἐπιτήδευμα φθάνω
having-found-out the-name indeed indeed and the profession I-have-already
δηλώσας, ἀλλὰ δεῖ πλείω προσθεῖναι γνωρίσματα·
having-shown but it-is-needful more to-add tokens
γένοιτο γὰρ ἄν τις ὁμώνυμος καὶ ὁμότεχνος. χαλεπῶς
might-be for — someone of-the-same-name and of-the-same-craft hardly
δὲ ἅπαντα ταὐτῷ συγκυρεῖ, οὐδὲ γένοιτο ἂν ἐν τῷ χρόνῳ
but all-things in-the-same coincide nor would-be — in the time

Σύρος τὸ γένος, μέλας τὸ χρῶμα, τὸ πρόσωπον
Syrian by-the race black in-the color in-the face
ἰσχνός, τὸ μέγεθος μέτριος. οἰκεῖ παρὰ τὴν βασιλικὴν
lean in-the size moderate he-lives beside the imperial
οἰκίαν, οὐ τὴν δημοσίαν ἀλλὰ τὴν κατόπιν αὐτῆς, ἥτις
house not the public but the(-one) behind it which
Ἀβλαβίου μὲν πρότερον ἦν, νυνὶ δὲ Πλακιδίας ἐστὶ τῆς
of-Ablabius indeed formerly was now but of-Placidia is of-the
τοῖν βασιλέοιν ἀδελφῆς. εἰ δὲ μετῴκησε (γινόμενον γάρ),
of-the-two emperors sister if but he-has-moved it-happens for
σὺ δὲ ἀλλὰ Μάρκον ζητήσεις, φανερώτατον ἄνδρα, τὸν
you but but Marcus will-seek most-conspicuous man the(-one)
ἐκ τῆς ὑπάρχου τάξεως. οὗτος ἦν ὁ τότε τῆς συμμορίας
from the of-the-prefect staff this-one was the then of-the company
ἄρχων τῶν ταχυγράφων τῆς τὸν Ἀστέριον ἐχούσης.
leader of-the shorthand-writers of-the(-company) — Asterius having
εὑρήσεις οὖν διὰ Μάρκου τὴν συμμορίαν, ἧς οὐκ
you-will-find then through Marcus the company of-which not
ἦν Ἀστέριος ἔσχατος ἀλλ᾽ ἐν τοῖς πρώτοις τρίτος ἢ
was Asterius last but among the first third or
τέταρτος· νυνὶ δὲ κἂν πρῶτος εἴη. τούτῳ δώσεις τὴν
fourth now but even first would-be to-this-one you-will-give the
παχεῖαν ταύτην δάπιδα, καὶ πρὸς αὐτὸν ἐρεῖς ἅττα
thick this carpet and to him you-will-say what-things
ἡμεῖς περὶ τοῦ χρόνου πρὸς σέ. εἰ δὲ βούλει, καὶ τὴν
we about the time to you if but you-wish also the
ἐπιστολὴν αὐτὴν ἀναγνώσῃ· σχολὴν γὰρ ἡμῖν ὁ πόλεμος
letter itself you-will-read leisure for to-us the war
οὐ δίδωσι τοῦ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι, εἶναι δὲ δικαίους
not gives of-the also to that-one to-write to-be but just
οὐδὲν ἴσως κωλύει. μήποτε τοσοῦτο δυνηθείη τὰ ὅπλα.
nothing perhaps prevents never so-much may-they-be-able the arms

62

Τῷ ἡγεμόνι
to-the governor

Μισθὸς ἀρετῆς ἔπαινος, ὃν εἰσφέρομεν Μαρκελλίνῳ τῷ
wage of-virtue praise which we-bring to-Marcellinus the
λαμπροτάτῳ, νῦν ὅτε πέπαυται τῆς ἀρχῆς, νῦν ὅτε
most-illustrious now when he-has-ceased from-the office now when
σχολάζει κολακείας ἁπάσης ὑπόνοια· ὅστις παραλαβὼν
has-leisure of-flattery all suspicion who having-received
πολεμουμένας τὰς πόλεις ἔξωθεν μὲν ὑπὸ πλήθους καὶ
being-warred-upon the cities from-without indeed by multitude and
μανίας βαρβαρικῆς, ἔνδοθεν δὲ ὑπὸ στρατιωτικῆς ἀταξίας
madness barbarian from-within but by military disorder
καὶ τῆς τῶν ταξιάρχων πλεονεξίας, ὥσπερ θεὸς ἐπιφανείς,
and the of-the captains greed as god having-appeared
μάχῃ μὲν μιᾷ τοὺς πολεμίους, ἐπιμελείᾳ δὲ καθημερινῇ
in-battle indeed one the enemies by-care but daily
τοὺς ὑπηκόους σωφρονεστέρους ἐποίησε, καὶ παρεσκεύασεν
the subjects more-temperate made and prepared
ἀπ᾽ ἀμφοῖν τῶν δεινῶν εἰρήνην ταῖς πόλεσιν. ὑπερεῖδε
from both the terrible-things peace for-the cities he-disdained
κερδῶν, ἃ δοκεῖν εἶναι νόμμα πεποίηκεν ἡ συνήθεια·
gains which to-seem to-be lawful has-made the custom
οὐκ ἐπεβούλευσε πλούτῳ, πενίαν οὐχ ὕβρισε, τὰ πρὸς
not he-plotted-against wealth poverty not he-outraged the(-things) toward
θεὸν εὐσεβής, τὰ πρὸς πολιτευομένους δίκαιος, τὰ
god pious the(-things) toward citizens just the(-things)
πρὸς δεομένους φιλάνθρωπος. διὰ τοῦτο φιλόσοφος
toward the-needy humane because-of this philosopher
ἱερεὺς ἐπαινῶν αὐτὸν οὐκ αἰσχύνεται, παρ᾽ ᾧ μηδεὶς
priest praising him not is-ashamed with whom no-one

εὕρετο μαρτυρίαν χάριτι δεδεκασμένην. παρεῖναι μὲν οὖν
found testimony by-favor having-been-bribed to-be-present indeed then
ἡμῖν καὶ τὸ δικαστήριον ἐβουλόμεθα· καὶ κοινῇ καὶ
for-us also the court we-wished and in-common and
καθ' ἕνα Πτολεμαιέων ἕκαστος ἀντεισηνέγκαμεν ἂν
by one of-Ptolemaeans each would-have-contributed-in-return —
αὐτῷ τὸν δυνατόν, εἰ μὴ τὸν δίκαιον ἔρανον, ὅτι λόγος
to-him the possible if not the just contribution because word
ἔργου παρὰ πολύ πως ἥττων ἐστί. πάντως ἂν ἐγὼ
than-deed by much somehow less is wholly — I
καὶ τότε τοῦ κοινοῦ προηγόρευσα. ἐπεὶ δὲ τυγχάνει
also then for-the community would-have-spoken since but he-happens
ὢν ὑπερόριος, ἐν γράμμασιν αὐτῷ τὴν μαρτυρίαν
being beyond-the-borders in letters to-him the testimony
κατατιθέμεθα, οὐκ ἐνοχληθέντες ἀλλ' ἐνοχλήσαντες.
we-deposit not having-been-troubled but having-troubled

63

Ἰωάννῃ

to-John

Χρῆσθαι δεῖ ταῖς τῶν δυνατῶν φιλίαις, οὐ καταχρῆσθαι.
to-use it-is-needful the of-the powerful friendships not to-abuse

64

Τῷ αὐτῷ

to-the same

Μὴ αἴτει μεγάλα, ἵνα μὴ δυοῖν θάτερον ἢ τυγχάνων
not ask great-things that not of-two the-one either obtaining
λυπῇς ἢ μὴ τυγχάνων λυπῇ.
you-may-give-pain or not obtaining you-may-be-grieved

65

Τῷ ἀδελφῷ

to-the brother

Ἄμφω τοὺς Διονυσίους ἀπέστειλα, ἵνα τῶν βιβλίων τὸ
both the Dionysiuses I-sent that of-the books the(-one)
μὲν ᾖς εἰληφὼς τὸ δ' ἀπειληφώς.
indeed you-may-be having-received the(-other) but having-received-back

66

Θεοφίλῳ

to-Theophilus

Πεῦσίν τινα πυθέσθαι σου προελόμενος, ὑπὲρ οὗ
question some to-ask of-you having-chosen about which
πεύσομαι προαφηγήσασθαι βούλομαι. Ἀλέξανδρος ἀπὸ
I-shall-ask to-narrate-first I-wish Alexander of
βουλῆς Κυρηναῖος ἔτι μειράκιον ὢν εἰς μοναδικὸν βίον
council Cyrenaean still lad being into monastic life
ἐτέλεσε. τῇ δὲ ἡλικίᾳ συμπροϊούσης τῆς κατὰ τὸν βίον
was-initiated with-the but age advancing-together of-the in the life

ἐνστάσεως, ἠξιώθη μὲν ἐκκλησιαστικῆς διακονίας,
constancy he-was-deemed-worthy indeed of-church ministry
ἠξιώθη δὲ τοῦ πρεσβύτερος εἶναι. κατὰ δέ τινα
was-deemed-worthy but of-the presbyter to-be by but some
χρείαν ἐπὶ στρατοπέδου γενόμενος καὶ Ἰωάννῃ τῷ
need at camp having-been and with-John the
μακαρίτῃ συστάς (τιμάσθω γὰρ παρ᾽ ἡμῶν ἡ
late having-been-introduced let-be-honored for by us the
μνήμη τοῦ τελευτήσαντος, ὅτι καὶ πᾶσα δυσμένεια
memory of-the(-one) having-died because also all enmity
τῷ βίῳ τούτῳ συναποτίθεται), τούτῳ συστάς,
with-the life this is-laid-aside-together to-this-one having-been-introduced
πρὶν μὲν στασιασθῆναι τὰς ἐκκλησίας, ὑπὸ τῶν ἐκείνου
before indeed to-be-divided the churches by the his
χειρῶν ἐπίσκοπος ἀπεδείχθη τῆς Βιθυνῶν Βασινουπόλεως.
hands bishop was-appointed of-the of-Bithynians Basinupolis
συμβάσης δὲ τῆς διαφορᾶς, διέμεινε τῷ χειροτονήσαντι
having-occurred but the quarrel he-remained to-the(-one) having-ordained
φίλος, καὶ γέγονε τῶν ἐκείνου στασιωτῶν. ἐπεὶ δὲ ἡ
friend and became of-the his partisans when but the
συνοδικὴ γνώμη κατίσχυσε, χρόνον μέν τινα συνέμειναν
synodal judgment prevailed time indeed some remained-together
ἡ στάσις. τί δ᾽ ἂν διηγοίμην εἰδότι, μᾶλλον δὲ
the faction why but — would-I-narrate to-one-knowing rather but
αὐτῷ διῳκηκότι τὰ περὶ τὰς γενομένας διαλλαγάς;
to-him having-managed the(-things) about the having-happened reconciliations
ἐπεί τοι καὶ βιβλίον ἀνέγνων σοφόν, ὃ πρὸς τὸν
since in-truth also book I-read wise which to the
μακάριον ἐμοὶ δοκεῖν Ἀττικὸν ἔγραφες, ἐνάγων αὐτὸν τῇ
blessed to-me to-seem Atticus you-wrote urging him to-the
καταδοχῇ τῶν ἀνδρῶν. τὰ μὲν δὴ μέχρι τούτων
reception of-the men the(-things) indeed indeed until these

Ἀλεξάνδρῳ πρὸς τοὺς συναποστάτας κοινά· ἴδιον δὲ ἢ
to-Alexander with the fellow-rebels common own but or
μετ' ὀλίγων ὅτι τουτὶ μὲν ἔτος ἤδη τρίτον ἐξήκει μετὰ
with few that this indeed year already third has-run after
τὴν ἀμνηστίαν καὶ τὰς διαλλαγάς, ὃ δὲ οὐκ ἐβάδισε τὴν
the amnesty and the reconciliations he but not went the
εὐθὺ Βιθυνίας, οὐδὲ τῆς συλλαχούσης αὐτῷ καθέδρας
straight-road of-Bithynia nor of-the having-fallen-by-lot to-him see
ἐλάβετο· μένει δὲ παρ' ἡμῖν ὥσπερ μηδὲν αὐτῷ διαφέρον
did-take-hold he-remains but with us as nothing to-him differing
ἂν καί τις ὡς ἰδιώτῃ προσφέρηται. ἐγὼ μὲν οὖν οὔτε
if even anyone as to-private-man should-treat-him I indeed then neither
πόρρωθεν ἐνετράφην τοῖς νόμοις τοῖς ἱεροῖς, οὔτε ἤδη μοι
from-long was-reared in-the laws the holy nor now to-me
καθήκει πολλὰ μεμαθηκέναι πέρυσιν οὔπω γεγονότι τοῦ
befits many-things to-have-learned last-year not-yet having-been of-the
καταλόγου· αἰσθόμενος δὲ γέροντας ἐνίους οὐδ' αὐτοὺς μέν
roll having-perceived but elders some not-even themselves indeed
τι σαφὲς εἰδέναι προσποιουμένους, ἀποδεδειλιακότας
anything clear to-know pretending having-become-afraid
δὲ μὴ λάθωσι πρός τινα κανόνα τῆς ἐκκλησίας
but lest they-unwittingly against some canon of-the church
προσκόψαντες, καὶ διὰ τοῦτο παντάπασιν ἀπηνέστερον
having-stumbled and because-of this altogether more-harshly
αὐτῷ προσενηνεγμένους καὶ ὑπὲρ ἀσαφοῦς ὑπονοίας ἀτιμίαν
him having-treated and for unclear suspicion dishonor
σαφῆ τοῦ ξένου κατασκεδάσαντας, οἳ μηδὲ κοινῆς στέγης
clear on-the stranger having-poured who not-even common roof
ἠνέσχοντο, οὔτε ἐμεμψάμην οὔτε ἐμιμησάμην αὐτούς. οἶσθ'
endured neither I-blamed nor imitated them know-you
οὖν ὅπως ἐποίησα, πάτερ σεβασμιώτατε; ἐκκλησίᾳ μὲν
then how I-did father most-venerable in-church indeed

οὐκ ἐδεξάμην αὐτόν, οὐδὲ τραπέζης ἱερᾶς ἐκοινώνησα, οἴκοι
not I-received him nor at-table holy did-I-communicate at-home
δὲ ἴσα καὶ τοῖς ἀναιτίοις ἐτίμησα, ὅστις ὁ τρόπος καὶ
but equally also with-the guiltless I-honored which the way also
ἐπὶ τῶν ἐπιχωρίων οὐμός. ὅταν τις αὐτῶν ἐφέστιος ἡμῖν
with the local-people mine whenever any of-them at-the-hearth for-us
γένηται, παντὶ παντὸς ἔργου καὶ λόγου τιμὴν ἔχοντος
becomes to-everyone of-every deed and word honor having
ἐξιστάμεθα, φλυαρεῖν ἡγούμενοι τοὺς δυσχεραίνοντας
we-give-way thinking to-talk-nonsense the(-ones) taking-it-ill
ὅτι τὰ μητρῷα τῆς πόλεως καταβάλλομεν δίκαια. καίτοι
that the maternal of-the city we-throw-down rights and-yet
διὰ τοῦτο τὰς ἁπάντων φροντίδας κατωμαδὸν ἀράμενος
because-of this the of-all cares on-the-shoulders having-lifted
φέρω, καὶ μόνος ὑπὲρ τῆς ἁπάντων ἀσχολοῦμαι σχολῆς.
I-carry and alone for the of-all toil-over leisure
ἀλλ᾽ ἐν καλῷ μοι κείσεται παρὰ τῷ θεῷ πλεονεκτεῖν
but in fair for-me it-will-lie with — god to-have-more
μὲν πόνοις μειονεκτεῖν δὲ τιμῶν. καὶ τὸν Ἀλέξανδρον δὲ
indeed in-toils to-have-less but in-honors and — Alexander but
τοῦτον, ὅταν μὲν εἰς ἐκκλησίαν προΐω, βουλοίμην μὲν
this whenever indeed to church I-go-forth I-would-wish indeed
ἂν μηδαμόθι τῆς ἀγορᾶς ἰδεῖν, συμβὰν δὲ ἰδεῖν ἑτέρωσέ
— nowhere of-the market to-see having-happened but to-see elsewhere
ποι τρέπω τοὺς ὀφθαλμούς, καὶ εὐθὺς ἐπανθεῖ μοι
somewhere I-turn the eyes and straightway blooms on-me
κατὰ τῆς παρειᾶς ἐρύθημα· ὑπερβάντα δὲ τὴν οἰκείαν
over the cheek blush having-passed but the own
αὐλὴν καὶ γενόμενον ὁμωρόφιον ἅπασι τοῖς εἰκόσι
courtyard and having-become under-one-roof with-all the fitting-things
τιμῶ. τί δήποτ᾽ οὖν ἀσύμφωνός εἰμι πρὸς ἐμαυτὸν ἰδίᾳ
I-honor why ever then out-of-tune am-I toward myself privately

καὶ δημοσίᾳ, ἐν οὐδετέρῳ τῶν καιρῶν δεδογμένα
and publicly in neither of-the occasions having-been-decided(-things)
ποιῶν; ἀλλὰ τὸ μὲν εἴκω τῷ νόμῳ, τὸ δὲ τῇ
doing but the(-one) indeed I-yield to-the law the(-other) but to-the
φύσει χαρίζομαι, ῥεπούσῃ πρὸς τὸ φιλάνθρωπον. καίτοι
nature I-grant inclining toward the humane and-yet
κἂν ἀπεβιασάμην τὴν φύσιν, εἴ τι σαφὲς ἠπιστάμην
even would-have-forced the nature if anything clear I-knew
ὑπὲρ τοῦ νόμου. αὐτὸ δὴ τοῦτό ἐστι τὸ ἐρώτημα, πρὸς
about the law it indeed this is the question to
ὃ δεῖ τὴν αὐθεντίαν τῆς εὐαγγελικῆς διαδοχῆς
which it-is-needful the authority of-the evangelical succession
ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς καὶ ὥσπερ πυνθάνομαι,
to-answer simply and clearly and as I-ask
Ἀλέξανδρον ἐπίσκοπον χρὴ νομίζειν ἢ μή;
Alexander bishop it-is-needful to-think or not

A long report to Theophilus. At Palaebisca and Hydrax the people refuse a bishop of their own and cling to Paul, begging with tears to keep him; Synesius leaves the choice to the patriarch. He settles the quarrel of the bishops Paul and Dioscorus over a ruined fort Paul consecrated as a church to seize it: prayers said in flight do not hallow a place, and Paul, shamed, repents and the two are reconciled. He reports on Jason, Lamponianus, and the money held for the poor, asks him to stop priests prosecuting priests for officers' gain, and to treat bishops who desert their sees as laymen in every church.

67

Τῷ αὐτῷ

to-the same

Ἐγὼ καὶ βούλομαι καὶ ἀνάγκη μοι θεία νόμον ἡγεῖσθαι
I both wish and necessity for-me divine law to-consider
πᾶν ὅ τι ἂν ἐκεῖνος ὁ θρόνος θεσπίσῃ. διὰ τοῦτο καὶ
all what ever — that the throne may-decree because-of this both
πένθιμον ἀσχολίαν παραιτησάμενος καὶ νοσοκομούμενον ἔτι
mourning business having-excused and being-nursed still
τὸ σῶμα πρὸς τοὺς πόνους ἐκβιασάμενος καὶ διοδεύσας
the body to the toils having-forced and having-traveled
τὴν ὕποπτον ὡς ἀνύποπτον, ἣν διετείχισεν ὅπλα πολέμια,
the suspect as unsuspected which had-walled-off arms hostile
γέγονα κατὰ Παλαίβισκάν τε καὶ Ὕδρακα· κῶμαι δὲ αὗται
I-came to Palaebisca both and Hydrax villages but these
Πενταπόλεως, καὶ τῆς διψηρᾶς Λιβύης αὐτὰ τὰ μεθόρια.
of-Pentapolis and of-the thirsty Libya very the borders
ἐν αἷς τόν τε δῆμον ἐκκλησιάσας, καὶ γράμματα τὰ
in which the both people having-assembled and letters the(-ones)
μὲν ἀναγνοὺς τὰ δὲ ἀποδούς (τὰ μὲν γὰρ ἦν
indeed having-read the(-ones) but having-delivered the(-ones) indeed for were

πρὸς αὐτούς, τὰ δὲ περὶ αὐτῶν πρὸς ἐμέ), καὶ λόγους
to them the(-ones) but about them to me and speeches
διεξελθὼν ἐπιτηδείους εἰς ἀρχαιρεσίαν εἰς τὸ καὶ πεῖσαι
having-gone-through suitable for election for the both to-persuade
καί, εἰ προχωροίη, βιάσασθαι προθέσθαι τὴν περὶ ἐπισκόπου
and if it-should-succeed to-force to-put-forward the about bishop
σκέψιν, οὐκ ἐξενίκησα τοῦ δήμου τὴν περὶ τὸν εὐλαβέστατον
inquiry not I-overcame of-the people the for the most-devout
Παῦλον σπουδήν. ἀξιῶ πιστεύεσθαι παρὰ πατρός· οὐκ ἦν
Paul zeal I-ask to-be-believed by father not it-was
μοι βουλομένῳ μάτην δεδραμηκέναι. πολλὰ τιμῶντί με
for-me wishing in-vain to-have-run in-many-ways honoring me
τῷ δήμῳ προσέκοψα· τοὺς φανερωτάτους αὐτῶν, εἴ τις
the people I-offended the most-conspicuous of-them if anyone
ἀνέκραγε μεῖζον, εἴ τις εὑρόμενος κρηπῖδα καὶ ἐπαναβὰς
shouted-up louder if anyone having-found base and having-mounted
αὐτῇ προήγορος ἠξίωσεν εἶναι καὶ λόγον ἀπέτεινεν,
on-it advocate deemed to-be and speech stretched-out
ὡς ὠνίους ὡς συνωμότας ὑπηρετῶν χερσὶ παραδοὺς
as bought as conspirators to-servants' hands having-handed-over
ἐκκυλισθῆναι τῆς ἐκκλησίας ὠθουμένους προσέταξα.
to-be-rolled-out of-the church being-thrust I-ordered
συγχυθέντα δὲ αὖθις καὶ πολλάκις ἀναλαβών τε καὶ
having-been-confounded but again and often having-taken-up both and
καταστήσας τὸν δῆμον, διὰ πάσης ἦλθον ἐν λόγοις
having-settled the people through every I-went in speeches
ὁδοῦ, τὸν ἀρχιερατικὸν ἐκεῖνον θρόνον ἀποσεμνύνων, καὶ
road the high-priestly that throne extolling and
πείθων ὅτι διὰ τῆς εἰς ὑμᾶς ἀθετήσεως καὶ τιμῆς ὁ
persuading that through the toward you slight and honor —
θεὸς ἀθετεῖταί τε καὶ τιμᾶται. οἱ δὲ εὐφήμῳ τε φωνῇ
god is-slighted both and is-honored they but auspicious both with-voice

τὸ μακάριον ὄνομα τῆς σῆς θεοσεβείας ἐπεκαλέσαντο καὶ
the blessed name of-the your godliness invoked and
πεσόντες ἱκέτευον, ὡς πρὸς παρόντα τὰς ἐκβοήσεις καὶ τὰς
having-fallen begged as to one-present the outcries and the
ὀλοφύρσεις ποιούμενοι. τὸ μὲν οὖν τῶν ἀνδρῶν εἰ καὶ
laments making the(-part) indeed then of-the men if even
πέρα προσδοκίας, ἀλλ' ἔλαττον ἦν· αἱ δὲ γυναῖκες, πρᾶγμα
beyond expectation but less was the but women thing
δυσμεταχείριστον, χεῖρας αἴρουσαι, βρέφη προτείνουσαι, καὶ
hard-to-handle hands raising babes holding-out and
μύουσαι τοὺς ὀφθαλμούς, ἵνα μὴ εἰς ἔρημον τοῦ συνήθους
shutting the eyes that not on empty of-the customary
προστάτου τὸν θρόνον ἐνατενίζοιεν, μικρὸν ἐδέησαν τοὺς
patron the throne they-might-gaze a-little fell-short the(-ones)
τἀναντία πολιτευομένους ἡμᾶς εἰς πάθος παραπλήσιον
the-opposite acting-politically us into passion like
ἐκκαλέσασθαι. ὅπερ ἵνα μὴ πάθω, φοβηθείς (ᾐσθανόμην
to-call-forth which that not I-might-suffer having-feared I-was-perceiving
γὰρ ἀγόμενος) ἔλυσα τὴν ἐκκλησίαν, καὶ εἰς τετάρτην
for being-led I-dissolved the assembly and on fourth
ἥκειν ἀπήγγειλα, ἐπαρασάμενος τὰς παλαμναιοτάτας ἀράς,
to-come I-announced having-imprecated the most-bloody curses
εἴ τις ἔμμισθος, εἴ τις κατὰ χρείαν ἢ χάριν ἢ ὅλως
if anyone hired if anyone by need or favor or altogether
ἰδίᾳ τι διαφέρον αὐτῷ φθέγξαιτό τι τῶν
privately anything mattering to-him should-utter anything of-the(-things)
ἡκόντων εἰς τὴν τῆς ἐκκλησίας παρακοήν.
tending to the of-the church disobedience
ἦκεν ἡ κυρία, καὶ ὁ δῆμος παρῆν πάλιν ἐνστάτης
came the appointed-day and the people was-present again insistent
καὶ ἐναγώνιος. ὃς οὐδὲ περιέμεινε πεῦσιν, ἀλλ'
and in-agony which not-even waited-for question but

εὐθὺς ἦν ἅπαντα κυκεών, φωνὴ παμμιγὴς ἀδιάκριτος.
straightway was all-things medley voice all-mixed indistinct
κατασιγαζόντων δὲ τῶν ἱεροκηρύκων, εἰς θρῆνον αὐτοῖς
silencing but the sacred-heralds into lament for-them
ἀπετελεύτησεν ἡ βοή, καὶ ἦν ἄκουσμα σκυθρωπόν,
ended the shout and it-was hearing gloomy
ἀνδρῶν οἰμωγαί, γυναικῶν ὀλολυγαί, παίδων ὀλοφυρμοί.
of-men wailings of-women shrieks of-children laments
ὁ μὲν ἔφη πατέρα ποθεῖν, ὁ δὲ υἱόν, ὁ δὲ
the(-one) indeed said father to-long-for the(-other) but son the(-other) but
ἀδελφόν· οὕτως ἐμερίζετο ταῖς ἡλικίαις τὰ τῆς συγγενείας
brother so was-divided by-the ages the of-the kinship
ὀνόματα. ἐμοῦ δέ τι μεταξὺ λέγειν ἐπιχειροῦντος
names of-me but something meanwhile to-say attempting
ἀναδείκνυται γραμμάτιον ἐκ μέσου τοῦ πλήθους, καὶ
is-held-up little-writing from middle of-the crowd and
ἐνεύχεταί τις εἰς κοινὸν αὐτὸ πᾶσιν ἀναγνωσθῆναι·
prays someone in common it for-all to-be-read
τὸ δὲ ἦν ἐνορκισμὸς πρὸς ἐμὲ παύσασθαι σὺν βίᾳ τοῦ
it but was adjuration to me to-stop with force of-the
πλήθους ἀποπειρώμενον, καὶ ἀναθέσθαι τὸ σκέμμα μέχρι
crowd making-trial and to-defer the inquiry until
ἂν αὐτοῖς δὴ γένηται πρὸς τὴν μακαριωτάτην σου
— for-them indeed it-becomes-possible to the most-blessed your
κεφαλὴν ὑπὲρ τούτου ψήφισμα πέμψαι καὶ πρεσβευτήν,
head about this decree to-send and envoy
μᾶλλον δὲ ἐμοῦ κατεδέοντο ποιήσασθαι συνηγορίαν ἐν
rather but me they-begged to-make advocacy in
γράμμασιν, ἅπερ ἐδιδάχθην διδάσκοντα. ἐλέγετο τοίνυν
letters which I-was-taught teaching was-said therefore
καὶ ἐν συνεδρίῳ παρὰ τῶν πρεσβυτέρων καὶ δημοσίᾳ
both in council by the presbyters and publicly

παρὰ τοῦ πλήθους, καὶ τὸ γραμμάτιον αὐτὰ ταῦτα
by the crowd and the little-writing these very-things
καθ' ἕκαστον διεξήει, πάτριον εἶναι καὶ ἀποστολικὸν
by each went-through ancestral to-be and apostolic
Ἐρυθρίτιδας εἶναι ταύτας τὰς ἐκκλησίας, ἀποστασιάσαι
Erythrite to-be these the churches to-have-revolted
δὲ αὐτὰς πρὸς Ὡρίωνα τὸν μακάριον, πορρωτέρω τε
but them to Orion the blessed farther both
ὄντα πρεσβύτην καὶ αἰτίαν ἔχοντα πρᾳότατον εἶναι· τοῦτο
being old-man and charge having most-gentle to-be this
γὰρ ἤδη καὶ λοιδόρημα γέγονεν ὑπὸ τῶν ἀξιούντων
for already also reproach has-become from the(-ones) deeming
ἱερωσύνην προστάτιν εἶναι τὰ εἰς ἀνθρώπους καὶ
priesthood patroness to-be the(-things) toward men and
πολυπράγμονα. καὶ ἐπειδὴ παρέτεινε ζῶν, οὐκ ἀνασχέσθαι
busy and since be-lingered living not to-have-endured
περιμεῖναι τοῦ δικαίου τὴν τελευτήν, ἀλλὰ προβαλέσθαι
to-await of-the just-man the end but to-put-forward
τὸν μακαρίτην Σιδήριον· ἐδόκει γὰρ οὗτος νέος τε εἶναι
the late Siderius seemed for this-one young both to-be
καὶ ῥέκτης ἀνήρ, ἀπὸ τῆς παρὰ βασιλεῖ Βάλεντι στρατείας
and active man from the with emperor Valens service
ἥκων κατὰ χρείαν ἀγρῶν αἰτηθέντων ἐπιμελείας,
having-come by need of-fields having-been-asked-for of-care
οἷος ἐχθρούς τε κακῶσαι καὶ φίλους ὀνῆσαι. τότε δὲ καὶ
such-as enemies both to-harm and friends to-benefit then but also
ἐκράτει τὰ τῶν αἱρέσεων· πλήθει γὰρ περιῆσαν, καὶ
prevailed the(-things) of-the heresies in-number for they-were-superior and
καιρὸν εἶχεν ἡ δεινότης, ὄργανον οὖσα φρονήσεως. τοῦτον
season had the cleverness instrument being of-prudence this-one
οὖν ἕνα καὶ μόνον ἀποδεδεῖχθαι Παλαβίσκης ἐπίσκοπον.
then one and alone to-have-been-appointed of-Palaebisca bishop

ἀλλ᾽ οὐδὲ τοῦτον ἐνθέσμως· ἐκθέσμως μὲν οὖν, ὅσα
but not-even this-one lawfully unlawfully indeed then so-far-as
γε τῶν γερόντων ἠκούσαμεν, εἰ μήτε ἐν Ἀλεξανδρείᾳ
at-least from-the elders we-have-heard if neither in Alexandria
κατέστη μήτε παρὰ τριῶν ἐνθάδε, καὶ εἰ τὸ σύνθημα τῆς
he-was-installed nor by three here and if the token of-the
χειροτονίας ἐκεῖθεν ἐδέδοτο. μόνον γὰρ δή φασι τὸν
ordination from-there had-been-given alone for indeed they-say the
μακάριον Φίλωνα θαρρῆσαι τὴν τοῦ συνιερέως ἀνάρρησιν.
blessed Philo to-have-dared the of-the fellow-priest proclamation
Φίλων ἐγένετο Κυρηναῖος ἔτι παλαίτερος, ὁ τοῦ νεωτέρου
Philo was Cyrenaean still older the of-the younger
θεῖός τε καὶ ὁμώνυμος· τὰ μὲν ἄλλα ὁποῖον ἂν
uncle both and namesake in-the indeed other-things what-sort —
γένοιτο παίδευμα τοῦ Χριστοῦ, τὰ δὲ εἰς τὸ ἄρχειν
might-be pupil — of-Christ in-the(-things) but for the to-rule
καὶ ἄρχεσθαι θαρραλεώτερος μᾶλλον ἢ νομιμώτερος.
and to-be-ruled more-daring rather than more-lawful
ἀλλὰ γὰρ αἰτοῦμαι συγγνώμην ἐπὶ τῷ λόγῳ τὴν ἱερὰν
but for I-ask pardon for the word the holy
τοῦ πρεσβύτου ψυχήν. τοῦτον ἥκοντα μόνον ἀποδεῖξαί τε
of-the old-man soul this-one having-come alone to-appoint both
καὶ ἐπὶ τοῦ θρόνου καθίσαι τὸν μακαρίτην Σιδήριον. ἀλλ᾽
and on the throne to-seat the late Siderius but
ἀνάγκη γὰρ ἐν καιροῖς ἀπαρρησιάστοις τὴν ἀκρίβειαν
necessity for in seasons of-no-free-speech the exactness
παραβαίνεσθαι. διὰ τοῦτο τὸν πάμμεγαν Ἀθανάσιον
to-be-transgressed because-of this the very-great Athanasius
συγχωρῆσαί τε τῷ καιρῷ, καὶ μετ᾽ οὐ πολὺ δεῆσαν
to-have-yielded both to-the season and after not long it-having-been-needful
ἐν Πτολεμαΐδι τὸν ἐνόντα σμικρὸν ἔτι τῆς ὀρθοδοξίας
in Ptolemais the being-in small still of-the orthodoxy

σπινθῆρα θάλψαι τε καὶ ἐπὶ πλέον ἐξάψαι, τὸν ἄνδρα
spark to-warm both and on more to-kindle the man
τοῦτον ὡς μείζοσι πράγμασιν ἐπιτήδειον ἐκεῖ διαβῆναι
this as for-greater affairs suitable there to-cross
κελεῦσαι, τὴν μητροπολῖτιν ἐκκλησίαν ἐπιτροπεύσοντα.
to-have-ordered the metropolitan church going-to-govern
γῆρας δ' αὐτὸν εἰς τὰς κωμήτιδας ἐπανήγαγεν· οὗ
old-age but him to the villages brought-back where
καταλύσας οὐκ ἔσχε διάδοχον, ὃς οὐδὲ αὐτὸς ὑπῆλθεν
having-ended not he-had successor who not-even himself entered-on
ἑτέρου διαδοχήν. Παλαίβισκα δὲ καὶ Ὕδραξ εἰς τὴν ἀρχαίαν
of-another succession Palaebisca but and Hydrax into the ancient
τάξιν ἐτάχθησαν, καὶ πρὸς τὸ Ἐρυθρὸν ἀνελήφθησαν,
rank were-ranged and to — Erythrum were-taken-back
δόγματι, φασί, τῆς σεβασμίας σου κεφαλῆς. καὶ τούτῳ δὴ
by-decree they-say of-the venerable your head and on-this indeed
μάλιστα πάντων ἐνέκειντο, τῷ μὴ δεῖν ἀθετεῖσθαι τὸν
most of-all they-insisted on-the not to-be-needful to-be-set-aside the
παρὰ σοῦ θρονισμόν. γράμματα μὲν οὖν, ᾔτησα γάρ, οὐκ
by you enthronement letters indeed then I-asked for not
εἶχον ἐπιδεικνύναι, ἐπισκόπους δὲ τῶν συνέδρων ἀνίστασαν
they-had to-show bishops but of-the fellow-councilors they-put-up
μάρτυρας. οὗτοι δὲ ἔφασαν, ἐπιστολῇ πειθαρχοῦντες ἐκεῖθεν
witnesses these but said by-letter obeying from-there
ἡκούσῃ, πεῦσιν περὶ Παύλου προθεῖναι τῷ δήμῳ· καὶ
come question about Paul to-put-before the people and
δόξαν ἅπασιν ἐπίσκοπον ἔχειν, ἀνενέγκαι περὶ
it-having-seemed-good to-all bishop to-have to-refer about
αὐτοῦ, τοὺς δὲ θρονιστὰς ἑτέρους γενέσθαι. καὶ εἴ μοι δίδως
him the but enthroners others to-be and if to-me you-grant
εἰπεῖν, πάτερ σεβασμιώτατε, ἐκεῖνος ἦν ὄντως ὁ καιρὸς
to-say father most-venerable that was truly the season

ὁ τῆς σκέψεως· τὸ γὰρ ἀφελέσθαι τοῦ μὴ χαρίσασθαι
the of-the inquiry the for to-take-away than-the not to-grant
λυπηρότερον. ἀλλὰ κρατείτω καὶ νῦν ὅ τι ἂν δόξῃ
more-painful but let-prevail also now what ever — may-seem-good
τῇ πατρικῇ σου κεφαλῇ. εἰ γὰρ τὸ δόξαι τότε δίκαιον
to-the paternal your head if for the to-have-seemed then just
αὐτοῖς γέγονε καὶ τοῦτο προΐσχονται, τὸ μηκέτι δοκεῖν
for-them has-become and this they-hold-forth the no-longer to-seem
τὸ δίκαιον μετατίθησιν· ὥσθ' ὅ τι ἂν γνῷς, τοῦτο τῷ
the just transfers so-that what ever — you-decide this for-the
πλήθει δίκαιον γίνεται. ἀκοὴ γὰρ ζωή, καὶ θάνατος ἡ
crowd just becomes obedience for life and death the
παρακοή. διόπερ οὐκ ἀνταίρουσι χεῖρας, ἀλλ' ἱκετεύουσι μὴ
disobedience wherefore not they-raise hands but they-beg not
γενέσθαι, ζῶντος αὐτοῖς ἔτι τοῦ πατρός, ὀρφανοί· οὕτω γὰρ
to-become living for-them still the father orphans so for
ἐπὶ λέξεως λέγουσι. κἀγὼ τὸν νεανίσκον οὐκ οἶδα πότερον
on word they-say and-I the youth not know whether
ἐπαινέσαιμ' ἂν τῆς παρὰ πάντων εὐνοίας ἢ μακαρίσαιμι·
I-should-praise — for-the from all goodwill or call-blessed
ἢ γὰρ τέχνης ἐστὶ καὶ δυνάμεως ἢ χάριτος θείας
either for of-art it-is and of-power or of-grace divine
οὕτω τοὺς ἀνθρώπους ἐξομιλῆσαι καὶ καταδημαγωγῆσαι
so the men to-win-over and to-lead-the-people
τὸ πλῆθος ὥστε τὸν χωρὶς αὐτοῦ βίον ἀβίωτον ἅπασιν
the crowd so-that the without him life unlivable for-all
εἶναι. διὸ δόξει μὲν περὶ αὐτῶν τῇ φιλανθρώπῳ
to-be wherefore will-seem-good indeed about them to-the humane
σου φύσει φιλανθρωπότερα, ἐμοὶ δὲ ἐπανιτέον εἰς ἄστυ,
your nature more-humane-things for-me but it-must-be-returned to city
κἀκεῖ περιμενῶ τοῦ ποιητέου τὸ σύνθημα. ἆ δ' οὖν
and-there I-shall-await of-the to-be-done the token what but then

ἐν ταῖς τέτρασιν ἡμέραις διῳκησάμην ἃς ἐν τοῖς τῇδε
in the four days I-managed which in the here
τόποις διέτριψα, τούτων οὐκ ἀγνοήσεις ὅντινα τύπον
places I-spent of-these not you-will-be-ignorant what pattern
ἕκαστον εὗρετο· καὶ μὴ θαυμάσῃς εἴ ποτε τὸν αὐτὸν
each found and not wonder if ever the same
εὖ τε καὶ κακῶς εἰπεῖν μοι συμβαίη. οὐ γὰρ ἐπὶ τοῖς
well both and ill to-speak to-me should-happen not for on the
αὐτοῖς ἑκάτερα· τὰ πράγματα δὲ ἐπαινεῖται καὶ ψέγεται.
same-things each-of-the-two the affairs but are-praised and are-blamed
Στάσις ἐν τοῖς κατὰ Χριστὸν ἀδελφοῖς καλὸν μὲν
faction among the in Christ brothers good indeed
εἰ μηδέποτε φύοιτο· φυεῖσα δὲ καλὸν εἰ μετὰ
if never it-should-spring-up having-sprung-up but good if after
μικρὸν παύοιτο. δι᾽ αὐτὸ δὴ τοῦτο καὶ γράμματι
little it-should-cease because-of it indeed this also by-letter
καταπεμφθέντι πειθόμενος διαιτᾶν ἠνεσχόμην, καὶ δέδωκα
having-been-sent-down obeying to-arbitrate I-consented and I-have-given
τὰς ἀκοὰς ἀμφισβητήσει τοιᾷδε. ἐν Ὕδρακι τῇ κώμῃ
the ears to-dispute such-as-this in Hydrax the village
χωρίον ἐστὶ τῆς κώμης αὐτὸ τὸ μετεωρότατον, ὃ πάλαι
place is of-the village very the most-elevated which of-old
μὲν ἦν φρούριον ἐρυμνότατον, κατασείσαντος δὲ τοῦ θεοῦ
indeed was fort most-impregnable having-shaken-down but — god
γέγονεν ἐκλελειμμένον ἐρείπιον. τέως μὲν οὖν ὀλίγοις
it-has-become having-been-abandoned ruin till-then indeed then for-few
τισὶ τῶν ἑαυτοῦ μερῶν εἰς ἑτέρας χρείας διεσχημάτιστο· οἱ
some of-the its-own parts to other uses had-been-refashioned the
δὲ παρόντες οὗτοι τῶν πολέμων καιροί, διότι δύναιτ᾽ ἂν
but present these of-the wars seasons because it-could —
ἐκτειχισθῆναι καὶ εἰς τὴν ἀρχαίαν χρείαν ἐπανελθεῖν, τοῦ
be-walled and into the ancient use to-return of-the

παντὸς ἄξιον αὐτὸ τοῖς κεκτημένοις παρέχονται. τοῦτο
all worth it to-the(-ones) having-acquired make this
τοῖς ἀδελφοῖς ἡμῶν, ἤδη δὲ καὶ ἄλλοις, τοῖς εὐλαβεστάτοις
to-the brothers our now but also to-others the most-devout
ἐπισκόποις Διοσκόρῳ καὶ Παύλῳ, περιμάχητον ἦν. ἐν αἰτίᾳ
bishops Dioscorus and Paul fought-over was in charge
γὰρ ἐπεποίητο τὸν Ἐρυθρίτην ὁ Δαρδανίτης ἐπιβουλότατα
for had-been-made the Erythrite the Dardanite most-treacherously
σκέψασθαι ὅπως ἂν τὸ μὴ προσῆκον περιποιήσαιτο,
to-have-considered how — the not belonging he-might-acquire
καθοσιώσαντα μὲν τῷ θεῷ τόπον ἀλλότριον, ἁρπάσαντα
having-consecrated indeed — to-god place another's having-seized
δὲ οὕτω τὴν τῆς εὐσεβείας ὑπόθεσιν ἤδη χειρὶ
but so the of-the piety pretext already with-hand
βιαίᾳ προστῆναι τοῦ πανουργήματος. πρὸς ταῦτα
violent to-stand-before the villainy against these-things
ὁ εὐλαβέστατος Παῦλος ἐπεχείρησε μὲν ἀντιλογίας
the most-devout Paul attempted indeed counter-arguments
κομίσαι τινάς, ὅτι τε προκατεσχήκει τὸν λόφον καὶ
to-bring some that both he-had-first-occupied the hill and
ἐκκλησία παλαίτερον ἀπεδέδεικτο πρὶν τὸν εὐλαβέστατον
church earlier had-been-declared before the most-devout
Διόσκορον ἀποδειχθῆναι τοῦ χωρίου δεσπότην. ἀλλ' ἂν μὴ
Dioscorus to-be-declared of-the place master but if not
μαλακώτερόν τις ἅπτηται τῆς ζητήσεως, ταχὺ τἀληθὲς
more-softly anyone handles the inquiry quickly the-truth
εὔδηλον γίνεται. ὥσπερ οὖν ἅπαν τοῦτο πέφηνεν ἔωλον.
evident becomes as then all this appeared stale
τὸ γὰρ ἐν ἐπιδρομῇ ποτὲ πολεμίων ἐκεῖσε συμφυγόντας
the for in raid once of-enemies thither having-fled-together
ἀνθρώπους εὔξασθαι τἀναγκαῖα, τοῦτο τὸν τόπον οὐ
men to-have-prayed the-necessary-things this the place not

καθιεροῖ· ἢ πάντα μὲν ὄρη πᾶσαι δὲ φάραγγες
consecrates or all indeed mountains all but ravines
ἐκκλησίαι, καὶ οὐδὲν ὅ τι φρούριον ἐκφεύγει τὸ δημόσιον
churches and nothing what ever fort escapes the public
εἶναι, ἐν οἷς ἅπασιν, ὅταν οἱ πολέμιοι προνομεύσωσιν,
to-be in which all whenever the enemies forage
εὐχαὶ καὶ μυστήρια γίνονται. οἰκίαι δὲ ὅσαι κατὰ τοὺς
prayers and mysteries take-place houses but as-many-as in the
ἀθέους τῶν ἐξ Ἀρείου καιροὺς εὐχὰς ἐδέξαντο καὶ
godless of-the(-ones) from Arius times prayers received and
μυστήρια, ἀλλ᾽ οὐδὲν ἧττόν εἰσιν ἰδιώτιδες· φυγὴ γὰρ
mysteries but nothing less are private flight for
κἀκεῖνο, καὶ γὰρ ἐκεῖνοι πολέμιοι. ἀλλ᾽ ἐγὼ τὸν καιρὸν
that-too and for those-men enemies but I the time
ἐζήτουν τῆς καθιδρύσεως, εἰ παρὰ διδόντων, εἰ παρὰ
sought of-the consecration if from givers if from
συγχωρούντων τῶν κυρίων ἐγένετο. ἀπεδείχθη λαμπρῶς
permitting the owners it-happened was-shown brilliantly
ἅπαντα τἀναντία. τῶν ἐπισκόπων ὁ μὲν ᾔτει λαβεῖν,
all the-opposite of-the bishops the(-one) indeed asked to-receive
ὁ δὲ οὐκ ἐδίδου κύριος ὤν. τέλος ὁ μὲν
the(-other) but not gave owner being at-last the(-one) indeed
ᾠχετο τὰς κλεῖς ἔχων, ὁ δὲ ἀνοίγνυσι καὶ τράπεζαν
went-off the keys having the(-other) but opens and table
εἰσφορήσας καθιεροῖ σμικρὸν οἰκίσκον ἐν λόφῳ πλατεῖ.
having-brought-in consecrates small little-house on hill broad
ἀλλ᾽ οὐ γάρ ἐστι παριτὸν ἐπὶ τὸν οἰκίσκον, εἰ μὴ δι᾽
but not for it-is accessible to the little-house if not through
ὁλοκλήρου τοῦ πλάτους, ὥστε τέχνη τις ἦν ἐφ᾽ ᾧ τὸν
whole of-the breadth so-that artifice some it-was for which the
λόφον περιποιήσασθαι. ἐδόκει δή μοι τὸ πρᾶγμα δεινὸν
hill to-acquire seemed indeed to-me the thing terrible

εἶναι καὶ πέρα δεινοῦ, καὶ ἀγανακτητέον ὁμοῦ μὲν ὑπὲρ
to-be and beyond terrible and to-be-indignant together indeed for
τῶν νόμων τῶν ἱερῶν, ὁμοῦ δὲ καὶ ὑπὲρ τῶν δικαίων
the laws the holy together but also for the rights
τῆς πολιτείας. συγχυθῆναι γὰρ ἅμα πάντα, τοῦτο μέν, εἰ
of-the state to-be-confounded for together all-things this indeed if
τρόπος καινὸς ἐπινοηθείη δημεύσεως, τοῦτο δὲ εἰ διὰ τῶν
way new were-devised of-confiscation this but if through the
παναγεστάτων τὰ ἐναγέστατα κρίνοιτο, εὐχὴ καὶ τράπεζα
most-holy-things the most-accursed should-be-judged prayer and table
καὶ καταπέτασμα μυστικόν, ἐφόδου βιαίας ὄργανα· καὶ
and veil mystic of-assault violent instruments and
περὶ τούτων ἤδη καὶ ἐν ἄστει διέγνωστο. καὶ συνέτυχε
about these already also in city it-had-been-decided and it-happened
γὰρ οὕτως; ὥστε παρ᾽ ὀλίγους ἅπαντας ἐπισκόπους ἐν
for so so-that save few all bishops in
τῇ Πτολεμαΐδι τότε συνδεδραμηκέναι κατά τινα σκέψιν
— Ptolemais then to-have-run-together for some deliberation
πολιτικήν. ἀκροώμενοι δὲ τὴν μὲν πρᾶξιν ἐμίσουν, τὴν
civic hearing but the indeed act they-hated the
δὲ μετάθεσιν ὤκνουν. ἐγὼ δὲ τὴν δεισιδαιμονίαν ἀξιῶ
but transfer they-shrank-from I but the superstition think-fit
διαστέλλειν ἀπὸ τῆς εὐσεβείας· κακία γάρ ἐστιν ἀρετῆς
to-distinguish from the piety vice for it-is of-virtue
προσωπεῖον περικειμένη, ἣν φιλοσοφία τὸ τρίτον οὖσαν
mask wearing which philosophy the third being
τῆς ἀθείας εἶδος ἐφώρασεν. οὐδὲν οὖν ἱερὸν οὐδὲ ὅσιον
of-the godlessness form detected nothing then holy or sacred
ἥγημαι τὸ μὴ δικαίως τε καὶ ὁσίως γενόμενον. οὔκουν
have-I-thought the not justly both and holily having-come-about not-therefore
ἐπῄει μοι πεφρικέναι τὴν λεγομένην καθίδρυσιν. οὐδὲ
it-occurred to-me to-have-shuddered-at the so-called consecration not

γάρ ἐστι τὰ Χριστιανῶν ὡς ἐπάναγκες εἶναι ταῖσδε
for is the(-religion) of-Christians so-as of-necessity to-be these
ταῖς τελεστικαῖς ὕλαις τε καὶ φωναῖς ὥσπερ ὁλκαῖς τισὶ
the ritual materials both and sounds as draws some
φυσικαῖς ἀκολουθῆσαι τὸ θεῖον (ὅπερ ἂν πάθοι πνεῦμα
physical to-follow the divine which — would-suffer spirit
ἐγκόσμιον), ἀλλ' ὥστε παρεῖναι ταῖς ἀπαθέσι καὶ ταῖς
cosmic but so-as to-be-present-at the passionless and the
οἰκείαις τῷ θεῷ διαθέσεσιν. ὅπου δὲ ὀργὴ καὶ θυμὸς
akin — to-god dispositions where but anger and wrath
ἀγνώμων καὶ δύσερι πάθος ἡγεῖται τῆς πράξεως, πῶς
senseless and contentious passion leads the action how
ἐκεῖ τὸ πνεῦμα τὸ ἅγιον παραγίνεται, ὧν ἐπεισελθόντων,
there the spirit the holy is-present which having-come-in
κἂν συμβῇ προενῳκηκός, ἐξοικίζεται; ἐγὼ μὲν οὖν εἶχον
even-if it-happens having-dwelt-before is-turned-out I indeed then was
ὡς ἀποφανούμενος τὴν μετάθεσιν· ὁ δὲ καὶ ἐξηλέγχετο
as going-to-declare the transfer he but also was-refuted
καὶ πρότερον ὑποσχόμενος, αὐτὴν ὅρκου τὴν ὑπόσχεσιν
and before having-promised it of-oath the promise
βεβαιώσαντος. τούτου λαβόμενος ἀσμένως ἤδη τὴν
having-confirmed this having-seized gladly already the
ἀπόφασιν ἀπεδίδρασκον, ἀλλ' ἐκεῖνον αὐτὸν ἀπέφαινον
verdict I-escaped but him himself I-declared
ἑαυτῷ δικαστήν, καὶ τὸν οἰκεῖον ὅρκον ἐκβιβάζειν
for-himself judge and the own oath to-carry-out
ἠνάγκαζον. ἀνατιθεμένου δὲ καὶ διατρίβοντος ἐπειδὴ τῆς
I-compelled deferring but and delaying since of-the
ἐκκλησιαστικῆς ἕνεκα σκέψεως αὐτόθι παρεγενόμην,
ecclesiastical for-the-sake deliberation there I-was-present
ἐδέησεν ἐπιβαλεῖν τὰς ὄψεις τῷ τόπῳ καὶ ἐπιδιαγνῶναι
it-was-needful to-cast the eyes on-the place and to-examine-further

τὰ τῆς ὑποθέσεως. καὶ πάλιν παρῆν ὅμιλος ἐπισκόπων
the(-things) of-the case and again was-present crowd of-bishops
ἐκ τῆς περιοικίδος, ἄλλου κατ᾽ ἄλλην χρείαν συνειλεγμένου·
from the neighborhood one for other need having-been-assembled
ἐφ᾽ ὧν ἁπάντων κἀμοῦ οἵ τε ὅροι διεδείκνυντο τὴν
before whom all and-me the both boundaries were-shown the
τοῦ Δαρδανίτου μερίδα σαφῶς ἀποτεμνόμενοι καὶ μαρτυρία
of-the Dardanite portion clearly cutting-off and testimony
γερόντων, καὶ συγκαταθέσεις τῶν τέως ἀντιλεγόντων τὸν
of-elders and agreements of-the(-ones) till-then contradicting the
εὐλαβέστατον Διόσκορον τοῦ χωρίου δεσπότην ἀπέφηναν.
most-devout Dioscorus of-the place master declared
ἐγκειμένου δὲ τἀδελφοῦ Διοσκόρου, γέγονεν ἀνάγκη καὶ τὸ
pressing but the-brother Dioscorus it-became necessity also the
γραμμάτιον τὸ λοίδορον εἰς κοινὸν ἅπασιν ἀναγνωσθῆναι,
little-writing the abusive in common to-all to-be-read
ὃ πρὸς τὴν ἁγιότητα τὴν σὴν ὁ εὐλαβέστατος
which to the holiness the your the most-devout
Παῦλος ἐπεποίητο ἐν ἐπιστολῆς εἴδει κωμῳδίαν ἐπὶ
Paul had-made in of-letter form comedy against
τὸν ἀδελφὸν ἀνασεσυρμένην καὶ πλημμελῆ, ἀφ᾽ ἧς
the brother barefaced and offensive from which
αἰσχύνεσθαι περιῆν οὐ τῷ κακῶς ἀκούσαντι, τῷ
to-be-ashamed it-remained not for-the(-one) ill having-heard for-the(-one)
δὲ κακῶς ἀγορεύσαντι. ἀλλ᾽ ἔστιν ἄρα καὶ τοῦτο δεύτερον
but ill having-spoken but it-is then also this second
ἀγαθὸν τὸ αἰσχύνεσθαι· τὸ μὲν γὰρ ἀναμάρτητον θείας
good the to-be-ashamed the indeed for sinlessness of-divine
ἄντικρύς ἐστι καὶ μοίρας καὶ φύσεως, τὸ δὲ ἐπὶ
plainly is both lot and nature the but at
τοῖς οὐκ εὖ γενομένοις ἐρύθημα σωφροσύνης τις ἂν
the(-things) not well having-been-done blush of-temperance anyone —

ἀποφήναιτο. ἅπερ ὑποστὰς ἐπὶ τοῦ παρόντος πράγματος
would-declare which having-undergone in the present matter
ὁ εὐλαβέστατος Παῦλος ἁπάσης ῥητορείας ἰσχυροτέραν
the most-devout Paul than-all rhetoric stronger
ἀπέφηνε τὴν ἐξ οἰκείας γνώμης μετάνοιαν· τὸ γὰρ
showed the from own judgment repentance the for
ὁμολογῆσαί τε ἁμαρτεῖν καὶ φανῆναι τὴν αἰσχρὰν λύπην
to-confess both to-have-sinned and to-appear the shameful grief
τὴν ὡς ἐπὶ κακοῖς αὐθαιρέτοις λυπούμενον, πάντας
the(-one) as for evils self-chosen grieving all
ἡμᾶς εὖνους αὐτῷ καὶ συνδιατιθεμένους παρέσχετο. καὶ
us well-disposed to-him and sympathizing rendered and
τὸ μὲν ἡμέτερον οὐ θαυμαστόν, ἀλλ' ὁ εὐλαβέστατος
the indeed ours not wonderful but the most-devout
ἐπίσκοπος Διόσκορος ἐπειδὴ τὸν τέως διαφιλοτιμούμενον
bishop Dioscorus since the(-one) till-then contending
ταπεινότερον ἐθεάσατο, τῇ ψήφῳ κρατῶν ἡττήθη τῇ
humbler he-beheld by-the vote prevailing was-defeated in-the
γνώμῃ, καὶ γέγονεν ἐπὶ τῷ εὐλαβεστάτῳ Παύλῳ ποιεῖν
judgment and it-became at the most-devout Paul to-do
ὁπότερα βούλοιτο, κατασχεῖν ἢ παραδοῦναι τὸν λόφον, τοῦ
whichever he-wished to-keep or to-hand-over the hill the
θαυμαστοῦ Διοσκόρου πολλαῖς ἐνδόντος αἱρέσεσιν, ὧν
wonderful Dioscorus many having-conceded choices of-which
οὐδεμιᾶς ἂν ἀκοὴν πρὸ τῆς ἐκείνου μετανοίας ἠνέσχετο.
none — hearing before of-the his repentance he-would-have-endured
καὶ γὰρ ἀποδόσθαι μόνον τὸν λόφον καὶ ἀμοιβὴν δοῦναι
and for to-sell only the hill and exchange to-give
πᾶν ἅμα τὸ κτῆμα καὶ ἄλλα πολλὰ προσεξεῦρεν,
all together the estate and other many-things he-found-besides
ἐπιδαψιλευόμενος αὐτῷ πόρους, ἀφ' ὧν ἄν τις προλήψει
lavishing on-him means from which — anyone by-anticipation

χαρίσαιτο. ὁ δὲ ταῦτα μὲν ὤκνει, ἠξίου δὲ ὑπεισελθεῖν
might-grant he but these-things indeed shrank-from deemed-fit but to-step-into
αὐτὸς τὴν εἰς τὸν ἀδελφὸν Διόσκορον γενομένην ὠνήν, καὶ
himself the to the brother Dioscorus having-been-made purchase and
ἐπὶ τοῖς αὐτοῖς ἀντικαταστῆναι δεσπότης τοῦ κτήματος.
on the same-terms to-be-substituted master of-the estate
ἐγένετο πρὸς τῷ λόφῳ καὶ τῶν ἀμπελώνων καὶ τῶν
he-became besides the hill also of-the vineyards and of-the
ἐλαιώνων ἐγκρατής. τῷ δὲ ἡ μεγαλοφροσύνη κτῆμα
olive-groves possessor to-the(-other) but the magnanimity estate
ἀντὶ κτήματος, μεῖζον ἀντ' ἐλάττονος περιγέγονε,
instead-of estate greater instead-of lesser has-gained
καὶ τὸ εἴσω γενέσθαι τῶν νόμων τῶν εὐαγγελικῶν, οἳ
and the within to-be of-the laws the evangelical which
συνεκτικωτάτην τῶν ἐντολῶν τὴν ἀγαπητικὴν διάθεσιν
most-binding of-the commandments the loving disposition
ἀπεφήναντο. ἓν τοῦτο μόνον ἔδει μνήμης ἀξιῶσαι
declared one this alone it-was-needful of-memory to-deem-worthy
μηνύσαντα τῶν ἀδελφῶν τὰς συμβάσεις καὶ τὴν ὁμόνοιαν,
having-reported of-the brothers the agreements and the concord
τἀν μέσῳ δὲ παραλιπεῖν, εἴ τις ἐπίσκοπος ὢν ἥλω
the-in middle but to-leave-out if anyone bishop being was-caught
τι πταίσας. ἃ γὰρ οὐκ ἔδει πεπρᾶχθαι,
somewhat stumbling the(-things) for not it-was-needful to-have-been-done
ταῦτα καλῶς ἔχει διδόναι τῇ λήθῃ. ἀλλ' ἵνα μὴ πάντα ἐκ
these well it-is to-give to-the oblivion but that not all-things from
πάντων ὁ ἀδελφὸς Διόσκορος ἀποτυγχάνῃ, ταῖς αἰτήσεσιν
all the brother Dioscorus may-fail to-the requests
αὐτοῦ δέδωκα τὸ πᾶσιν ἀκριβῶς ἐπεξελθεῖν, ἵνα μηδὲν
his I-have-granted the all exactly to-go-through that nothing
ἀγνοήσειεν ἡ σὴ θεοσέβεια, ἣν οὐ παρὰ φαῦλον ἀλλ'
may-be-ignorant-of the your godliness which not as trifling but

ἀντὶ παντὸς ἐποιεῖτο πεισθῆναι διὰ τῶν ἀποβάντων
instead-of everything he-made to-be-persuaded through the outcomes
ὅτι μὴ ἐπ᾽ ἀδίκοις ἐφιλονείκησε. κἀγὼ τὸν ἄνδρα τά τε
that not for unjust-things he-contended and-I the man the both
ἄλλα ἐπαινῶ (πάνυ γάρ μοι πρὸς τρόπου) καὶ τῆς
other-things I-praise very for to-me after manner and for-the
εἰς τὸν θρόνον ἐκεῖνον αἰδοῦς ὑπεράγαμαι. καὶ ναὶ μὰ
toward the throne that reverence admire-exceedingly and yes by
τὴν φίλην σου καὶ σεβασμίαν κεφαλήν, πολλὴν οἶμαι χάριν
the dear your and venerable head much I-think gratitude
ὀφείλειν αὐτῷ τοὺς ἐν Ἀλεξανδρείᾳ συμπτώχους, ὧν
to-owe to-him the in Alexandria fellow-poor of-whom
τοὺς ἀγροὺς ἐκπονεῖ, ταχὺ πανταχοῦ γινόμενος, καὶ ἐξ
the fields he-works quickly everywhere being and from
ἀπόρων φόρους ἐκλέγων καὶ τοῖς καιροῖς παριστάμενος.
resourceless-men tributes collecting and to-the seasons standing-by
Τὰ μὲν οὖν περὶ τὴν τῶν ἐπισκόπων στάσιν
the(-things) indeed then about the of-the bishops faction
οὕτως ἐχώρησεν· ἐπίταγμα δὲ ἦν ὅπως ἀκούσομαι καὶ
so went order but was that I-should-hear also
Ἰάσονος, ὃς ἔφη πολλὰ καὶ ἄδικα παρὰ συμπρεσβυτέρου
Jason who said many-things and unjust from fellow-presbyter
παθεῖν. οὕτως οὖν ἔχει κἀκεῖνα. Λαμπωνιανὸν Ἰάσων
to-have-suffered so then stand also-those-things Lamponianus Jason
εἶλεν ἀδικίας, ὁ δὲ φθάσας ὁμολογίᾳ τὸν ἔλεγχον
convicted of-injustice he but having-anticipated by-confession the proof
ἔχει τὴν δίκην, ἐκκλησιαστικῶν συνόδων εἰργόμενος.
has the penalty from-ecclesiastical synods being-excluded
καίτοι καὶ δάκρυον ἐκ μετανοίας ἀφῆκε, καὶ δῆμος
and-yet also tear from repentance he-let-fall and people
ἱκέτης αὐτὸν ἐξῃτήσατο. ἀλλ᾽ ἐγὼ τοῖς δεδογμένοις
suppliant him begged-off but I to-the(-things) having-been-decided

ἐνεκαρτέρησα, τοῦ δὲ λῦσαι τὴν αὐθεντίαν εἰς τὴν ἱερατικὴν
held-fast of-the but to-loose the authority to the priestly
καθέδραν ἀνέπεμψα. τοσοῦτον οὖν ἐμαυτῷ συνεχώρησα.
see I-referred so-much then to-myself I-allowed
εἰ προσπελάσει Λαμπωνιανῷ τὸ χρεὼν καὶ ἡ κυρία
if shall-draw-near to-Lamponianus the fate and the appointed-day
παρεῖναι δόξει, πᾶσιν ἐφῆκα τοῖς τότε παρεσομένοις
to-be-present shall-seem to-all I-permitted to-the then going-to-be-present
πρεσβυτέροις κοινωνίας αὐτῷ μεταδοῦναι (μηδεὶς γὰρ
presbyters of-communion to-him to-give no-one for
ἀποθάνοι δεδεμένος ἐμοί)· ἀναρρωσθεὶς δὲ πάλιν ἐπὶ
may-die having-been-bound by-me having-recovered but again on
τοῖς αὐτοῖς ὑπόδικος ἔστω, καὶ παρὰ τῆς θεσπεσίας σου
the same-terms liable-to-trial let-him-be and from the divine your
καὶ φιλανθρώπου ψυχῆς περιμενέτω τῆς συγγνώμης τὸ
and humane soul let-him-await of-the pardon the
σύνθημα. οὐδὲ γὰρ οὐδ' Ἰάσων πάντα ἀναίτιος ἑαυτῷ.
token not-even for even Jason wholly blameless to-himself
προπετὴς ἄνθρωπος γλῶτταν ἐνέτυχεν ἀνδρὶ προπετεστέρῳ
rash man in-tongue met man rasher
τὴν χεῖρα, καὶ τοῦτο δὴ τὸ λεγόμενον, κουφοτάτου
in-the hand and this indeed the saying for-most-light
πράγματος λόγου βαρυτάτην τιμωρίαν ἐξέτισε.
thing word heaviest penalty he-paid
Καὶ περὶ τῶν χρημάτων ἃ διείληφα, ταῦτα
and about the moneys which I-have-taken-charge-of these
Λαμπωνιανὸς ἔχειν ὁμολογεῖ, καὶ οὐδὲν ἀξιοῖ παρὰ
Lamponianus to-have admits and nothing deems-fit from
τῆς ναυαγίας ὠφελεῖσθαι τῆς ποιησάσης ἀφανὲς τὸ
the shipwreck to-be-profited the(-one) having-made obscure the
συμβόλαιον, ἀλλὰ καιρὸν αἰτεῖ τοὺς καρποὺς ὠνίους
contract but season asks the fruits for-sale

γενέσθαι· καὶ ἔφη πάντων ἀμελήσας ἑνὶ τούτῳ προσέχειν
to-become and he-said all-things having-neglected to-one this to-apply
τὸν νοῦν, ὡς ἂν τὰ πτωχικὰ καταθεῖτο χρήματα.
the mind so-that — the of-the-poor he-may-deposit moneys
νομίσματα δὲ ἦν ἑπτὰ καὶ πεντήκοντα πρὸς τοῖς ἑκατόν.
coins but were seven and fifty besides the hundred
Ἀνοιστέον ἐστὶ καὶ περὶ τῶνδε τῶν γινομένων παρ'
it-must-be-referred it-is also about these-things the(-things) happening among
ἡμῖν, ἵνα γινόμενα παύσηται. ἱερεῖς ἱερέας παρανόμων
us that happening they-may-cease priests priests for-illegalities
διώκουσιν. εἰ μὲν ἐπὶ ψεύδεσιν, οὔπω λέγω· πάντως δὲ
prosecute if indeed on lies not-yet I-say wholly but
μετ' ἐπιβούλου τῆς προαιρέσεως· οὐ γὰρ ἵνα λάβωσι
with treacherous the purpose not for that they-may-get
δίκας, ἀλλ' ἵνα τοῖς ἄρχουσι τῶν στρατευμάτων ἄδικα
justice but that for-the commanders of-the armies unjust
κέρδη μνηστεύσωσιν. ἐπὶ δὲ τοὺς ἐμοὺς ὤμους ἀναβαίνειν
gains they-may-woo onto but the my shoulders to-climb
ἀνάγκη τὰ πάντων φορτία. διό, δέομαι, γράφε καὶ
necessity the of-all burdens wherefore I-beg write and
διατάττου μηδενὶ μηδὲν ἐξεῖναι τοιοῦτο ποιεῖν. καὶ γὰρ
ordain for-no-one anything to-be-allowed such-thing to-do and for
ἐμοὶ χαριῇ καὶ τοῖς ἀπραγμονεστέροις καὶ κακῶς
to-me you-will-do-a-favor and the more-quiet and ill
πάσχουσιν ἀμυνεῖς, καὶ πολὺ πλέον εὖ πεποιηκὼς ἔσῃ
suffering you-will-defend and much more well having-done you-will-be
τοὺς ἀδικοῦντας αὐτούς, εἴπερ μεῖζον ἀγαθὸν τὸ μείζονος
the(-ones) doing-wrong themselves if-indeed greater good the from-greater
ἀπηλλάχθαι κακοῦ, κακὸν δὲ μεῖζον τοῦ ἀδικεῖσθαι τὸ
to-have-been-freed evil evil but greater than-the to-be-wronged the
ἀδικεῖν. τὸ μὲν γὰρ ἴδιόν ἐστι κακόν, τὸ δὲ
to-do-wrong the(-one) indeed for own is evil the(-other) but

ἀλλότριον. ἀλλ᾽ οὔτ᾽ ἐγὼ κατεμήνυσα τίνες εἰσί, μήτ᾽
another's but neither I have-informed who they-are nor
αὐτὸς εἰ καὶ μάθοις, ἐπ᾽ ὀνόματος ἐξελέγξῃς τινά, ἵνα μὴ
yourself if even you-should-learn by name convict anyone that not
ἀπεχθοίμην ἀδελφοῖς, οἷς ὅτι καὶ κατὰ πρόσωπον καὶ ἰδίᾳ
I-may-be-hated by-brothers whom that both to face and privately
λίαν ἐπιτετίμηκα συγχωρήσει θεός. ἀλλὰ φάνηθι τὸ πρᾶγμα
very I-have-rebuked will-allow god but appear the thing
μόνον μισῶν ἐν τοῖς πρὸς ἐμὲ γράμμασιν· εἴσομαι γὰρ σὺν
only hating in the to me letters I-shall-know for with
θεῷ μετὰ τοῦ πᾶσιν ἀλύπου τὸ μηκέτι προελθεῖν περαιτέρω
god with the to-all painless the no-longer to-go-forward further
τὴν ἀσχημοσύνην ἡμῶν, μὴ γὰρ εἴποιμι τῆς ἐκκλησίας.
the indecency our not for may-I-say of-the church
Οἰκονομήσασθαι δὲ ἓν ἔτι λοιπόν, καὶ λόγου πεπαύσομαι.
to-arrange but one still remaining and from-speech I-shall-cease
περινοστοῦσί τινες βακάντιβοι παρ᾽ ἡμῖν· ἀνέξῃ γάρ
go-about some vagrants among us you-will-bear-with for
μου μικρὸν ὑποβαρβαρίσαντος, ἵνα διὰ τῆς συνηθεστέρας
me a-little having-spoken-barbarously that through the more-customary
τῇ πολιτείᾳ φωνῆς τὴν ἐνίων κακίαν ἐμφαντικώτερον
in-the state word the of-some vice more-vividly
παραστήσαιμι. οὗτοι καθέδραν μὲν ἀποδεδειγμένην ἔχειν
I-may-present these-men see indeed having-been-appointed to-have
οὐ βούλονται, οἵ γε τὴν οὖσαν ἀπολελοίπασιν, οὐ κατὰ
not wish who indeed the existing have-left not by
συμφορὰς ἀλλ᾽ αὐθαίρετοι μετανάσται γινόμενοι· καρποῦνται
misfortunes but self-chosen emigrants becoming they-reap
δὲ τὰς τιμάς, ἐκεῖ περινοστοῦντες ὅπου κερδαλεώτερον. ἐμοὶ
but the honors there going-about where more-gainful to-me
δὲ δοκεῖ, πάτερ σεβασμιώτατε, χρῆναι τούτοις, ὅσοι τὰς
but it-seems father most-venerable to-be-needful to-these as-many-as the

οἰκείας ἐκκλησίας ἀπείπαντο, πᾶσαν ἐκκλησίαν ἀπείπασθαι·
own churches renounced every church to-renounce
καὶ πρὶν ἂν ἀπελθόντες ἐκεῖ καταστήσωνται, μηδένα
and before — having-gone-away there they-are-installed no-one
δέχεσθαι θυσιαστηρίῳ μηδὲ εἰς προεδρίαν καλεῖν, ἀλλὰ
to-receive at-altar nor to seat-of-honor to-call but
περιορᾶν ἀγελαίους ἐν ταῖς δημοτικαῖς καθέδραις, ὅταν
to-overlook-them of-the-herd in the popular seats whenever
εἰς ἐκκλησίαν ἐμβάλωσι. ταχὺ γὰρ ἂν ἐπανέλθοιεν, εἰ περὶ
into church they-come quickly for — they-would-return if about
τῆς τιμῆς κινδυνεύοιεν, ἧς ἀξιοῦσιν ἀπολαύειν ἁπανταχοῦ
the honor they-were-in-danger which they-claim to-enjoy everywhere
μᾶλλον ἢ οὗ προσήκει· δέξαιντο γὰρ ἂν ἐκεῖ μᾶλλον
rather than where it-befits they-would-receive for — there rather
ἢ μηδαμοῦ. καὶ δημοσίᾳ μὲν οὕτω προσοιστέον αὐτοῖς
than nowhere and publicly indeed so it-must-be-dealt with-them
ὡς ἄντικρυς ἰδιώταις, ἂν καὶ τῷ σεμνοτάτῳ σου θρόνῳ
as outright private-men if also to-the most-august your throne
συνδοκῇ· ἰδίᾳ δὲ καὶ κατ᾽ οἶκον εἰσόμεθά πως, ὅταν ἥκῃ
it-seems-good-too privately but and at home we-shall-know somehow when comes
παρὰ τῆς σῆς θεοσεβείας ἀπόκρισις ἐκείνης τῆς πεύσεως,
from the your godliness answer of-that the question
ἣν πρώην ἠρώτησα περὶ Ἀλεξάνδρου Κυρηναίου μὲν τὸ
which lately I-asked about Alexander Cyrenaean indeed by-the
γένος ἱερασαμένου δὲ ἔν τινι πόλει τῶν Βιθυνῶν, ἧς
race having-been-priest but in some city of-the Bithynians from-which
ἐκπεσὼν κατὰ δή τινα στάσιν, ἐξὸν ἐπανελθεῖν,
having-been-expelled in indeed some faction it-being-allowed to-return
οὐκ ἐπάνεισιν ἀλλ᾽ ἡμῖν ἐπιχωριάζει. περὶ τούτου γέγραφα
not returns but among-us stays about this-one I-have-written
πρὸς τὴν σὴν ἁγιότητα, πᾶσιν ἀκριβῶς ἐπεξελθὼν
to the your holiness all exactly having-gone-through

τοῖς περὶ αὐτὸν γενομένοις, καὶ γνώμην αἰτῶν οἳ
the(-things) about him having-happened and judgment asking where
τακτέον τὸν ἄνδρα. ἐπεὶ δὲ οὐδὲν ἥκει μοι περὶ
must-be-ranged the man since but nothing has-come to-me about
τούτων ἀντίγραφον, ἀμφίβολος ὢν πότερον διαπέπτωκεν
these-things reply in-doubt being whether has-miscarried
ἢ διεκομίσθη τὸ γράμμα μέχρι τῆς μακαρίας σου κεφαλῆς,
or was-conveyed the letter as-far-as the blessed your head
διείλεγμαι περὶ τούτου πρὸς τὸν θαυμαστὸν Διόσκορον
I-have-conversed about this with the wonderful Dioscorus
τὸν ἐπίσκοπον, καὶ τοῖς ταχυγράφοις τὰ ἀντίτυπα δοῦναι
the bishop and to-the shorthand-writers the copies to-give
τῶν τότε γραφέντων ἐπέταξεν, ἵνα εἰ μὴ τυγχάνεις
of-the(-things) then having-been-written he-ordered that if not you-happen
δεξάμενος τὴν ἐπιστολήν, ἔχοις παραναγνοὺς διαιτῆσαί τε
having-received the letter you-may having-read-over to-arbitrate both
καὶ πρὸς ἐμὲ διαπέμψασθαι τἀμοιβαῖα. ἐπὶ πᾶσιν εὔχου περὶ
and to me to-send the-reply for all-things pray about
ἐμοῦ· περὶ καταλελειμμένου γὰρ εὔξῃ καὶ τοῖς πᾶσιν
me for (one)-having-been-abandoned for you-will-pray and by-the all
ἐρήμου καὶ δεομένου συνεργίας τοιαύτης. ὡς αὐτὸς ὀκνῶ
deserted and in-need of-help such as I-myself shrink
περὶ ἐμαυτοῦ τι φθέγξασθαι πρὸς θεόν· ἅπαντα γὰρ
about myself anything to-utter to god all-things for
εἰς τοὐναντίον μοι περιίσταται διὰ τὴν ῥιψοκίνδυνον
into the-opposite for-me turn-round because-of the reckless
τόλμαν, ὅτι ἄνθρωπος ἐν ἁμαρτίαις, ἀπότροφος ἐκκλησίας,
daring that man in sins without-nurture of-church
ἀγωγὴν ἑτέραν ἠγμένος θυσιαστηρίων ἡψάμην θεοῦ.
upbringing other having-been-brought-up altars I-touched of-god

He commends a man to Theophilus and asks his prayers, since the enemy have overrun the country. He mourns to Proclus a year without letters and the loss of his child. He tells the bishops that Andronicus feigned repentance, was received on terms, and broke them, killing young Magnus, so the suspended sentence now stands. He begs Troilus to have Anthemius stop Libyans borrowing to buy the rule of their own province, asks Theophilus to ordain Antonius bishop of Olbia, and asks Anysius to keep the Unnigardae, forty men who have beaten a thousand, in their rank.

68

Τῷ αὐτῷ

to-the same

῾ΩΙ δέδωκα τὴν ἐπιστολήν, στέλλεται μὲν ἐπὶ πρᾶξιν
to-whom I-have-given the letter is-sent indeed on business
ἣν οὐχ ὅσιον ἐμοὶ διηγήσασθαι· ὅτι δὲ ἀρετὴν ἐκ νέας
which not holy for-me to-narrate that but virtue from youth
ἀσκεῖ, τοῦτο καὶ θέμις εἰπεῖν καὶ παντάπασιν ἀληθές.
he-practices this both right to-say and altogether true
ὡς μὲν οὖν ἀγαθὸν ἄνδρα τιμήσεις· ἣν δὲ ἐγράψατο
as indeed then good man you-will-honor which but he-indicted
γραφήν, οἰκείαν εἱμαρμένην πληρούτω. μηδὲ γὰρ δικαίου
indictment own fate let-it-fulfill not for of-just
ποτὲ φόνου προσάψοιο.
ever murder may-you-lay-hold

69

Τῷ αὐτῷ

to-the same

Μέλει γάρ σοι, μέλει καὶ Πενταπόλεως. οὐκοῦν ἐντεύξῃ
concerns for you concerns also Pentapolis therefore you-will-read
μὲν ταῖς δημοσίαις ἐπιστολαῖς· ὅτι δὲ κακὰ πλείω καὶ
indeed the public letters that but evils more and
μείζω γέγονεν ἢ φοβεῖ τὰ γράμματα, λέγοντος ἀκούσῃ
greater have-become than frighten the letters saying you-will-hear
τοῦ διακομιστοῦ. στέλλεται μὲν γὰρ ἐπὶ συμμαχίαν, ὡς
the bearer is-sent indeed for for alliance as
ἐκεῖθεν αἰτήσων· τὰ δὲ τῶν πολεμίων οὐδὲ τὴν ἔξοδον
from-there to-ask the(-things) but of-the enemies not-even the departure
αὐτοῦ περιέμεινεν, ἀλλ᾽ ἔφθασαν ἐκχυθέντες ἀθρόοι κατὰ
his awaited but they-anticipated having-poured-out in-crowds over
τῆς χώρας. πάντα οἴχεται, πάντα ἀνῄρηται· αἱ πόλεις
the country all-things is-gone all-things has-been-destroyed the cities
ἔτι λοιπαί, τὸ μέχρι οὗ γράφω, λοιπαί, τὸ δὲ εἰς τὴν
still remaining the(-time) until which I-write remaining the but for the
ἐπιοῦσαν, θεὸς οἶδε. πρὸς ταῦτα εὐχῶν δεῖται τῶν σῶν,
coming god knows for these-things of-prayers it-needs of-the your
εὐχῶν λέγω τῶν ἐθάδων τοῦ δυσωπεῖν τὸν θεόν. ὡς
of-prayers I-say of-the(-ones) accustomed to-the to-shame — god as
ἐγὼ πολλάκις ἤδη καὶ τὰ ἴδια καὶ τὰ κοινὰ μάτην
I often already both the own-things and the common in-vain
ηὐξάμην. τί λέγω μάτην; εἰς τοὐναντίον μοι περιίσταται.
prayed why do-I-say in-vain into the-opposite for-me it-turns-round
τοιοῦτόν εἰσιν αἱ ἁμαρτίαι βαρεῖαί τε καὶ πολλαί.
such are the sins heavy both and many

70

Πρόκλῳ

to-Proclus

Πέρυσιν οὐχ ἥκει μοι γράμματα παρὰ τῆς ἱερᾶς σου
last-year not came to-me letters from the holy your
χειρός. ἠρίθμησα καὶ τοῦτο μετὰ τῶν συντυχόντων
hand I-counted also this with the having-befallen
μοι κατ᾽ ἐκεῖνο καιροῦ δυσχερῶν, πολλὰ γὰρ
me at that-point of-time hardships many-things for
ἐπὶ πολλῶν ἐγὼ πέρυσιν ἠνιάθην· ἀλλὰ καὶ ὁ
over many I last-year was-grieved but also the
τῆτες χειμὼν ὅ τι μοι λοιπὸν ἦν τῶν
this-year winter what ever to-me remaining was of-the(-things)
εἰς ψυχαγωγίαν ἀφείλετο τὸ παιδίον. εἵμαρτο
for consolation took-away the child it-was-fated
γὰρ ἄρα συνόντι μὲν ὑμῖν εὐτυχεῖν, ἀπόντι δὲ
for then being-with indeed you to-be-fortunate being-away but
χαλεποῦ πειρᾶσθαι τοῦ δαίμονος. γενέσθω δή τις
harsh to-experience the fate let-be indeed some
παραμυθία τὸ δέξασθαι τῆς πατρικῆς σου κεφαλῆς
consolation the to-receive of-the paternal your head
γράμματα, τὸ τιμαλφέστατον τῶν ἀπὸ Θρᾴκης
letters the most-precious of-the(-goods) from Thrace
ἀγώγιμον.
merchandise

71

Πυλαιμένει

to-Pylaemenes

Διττοὶ δή λόγοι λέγονται περὶ σοῦ. τοιγαροῦν ὁμοῦ μὲν
double indeed reports are-told about you therefore together indeed
ἐπὶ Θρᾴκης ὁμοῦ δὲ εἰς Ἰσαύρους γράφω τοῦ περιτυχεῖν
to Thrace together but to Isaurians I-write for-the to-find
σε πάντως μιᾷ γέ τινι τῶν ἐπιστολῶν. ὑπόθεσις δὲ
you surely one at-least some of-the letters subject but
ἀμφοῖν ἀσπάσασθαι τὴν φιλτάτην κεφαλήν, Πυλαιμένη τὸν
of-both to-greet the dearest head Pylaemenes the
φιλόσοφον· τοῦτο γάρ ἐστι κἂν βούληται κἂν μὴ βούληται.
philosopher this for is both-if he-wishes and-if not he-wishes
οὐ γὰρ μήποτε κατισχύσῃ τοῦ πεφυκότος, οὐδ' οὐ μὴ
not for ever he-will-overpower the natural and not —
σβέσῃ τὸν σπινθῆρα τοῦ θείου πυρός, ἀλλ' ἀναλάμψει
he-will-quench the spark of-the divine fire but will-flash-up
ποτέ, τῆς μοχθηρᾶς ἀγωγῆς ὑπεράνω γενόμενος.
sometime the wretched upbringing above having-become

72

Τοῖς ἐπισκόποις

to-the bishops

Ἀνδρόνικος τὴν ἐκκλησίαν ψευσάμενος ἀληθευούσης αὐτῆς
Andronicus the church having-lied-to speaking-truth her
πειραθήτω. πρώην, οὔπω πάνυ πρώην ἥμαρτεν εἰς θεόν,
let-him-experience lately not-yet very lately he-sinned against god
ἐξύβρισεν εἰς ἀνθρώπους. ἐφ' οἷς ἀποκλείσαντες αὐτῷ
he-outraged against men for which having-shut to-him

τὴν παρ᾽ ἡμῖν ἐκκλησίαν ὑπηγορεύσαμεν πρὸς τὴν ὑμετέραν
the among us church we-dictated to the your
ἀδελφότητα γράμματα τὴν ἐπ᾽ αὐτῷ γνώμην μηνύοντα.
brotherhood letters the about him judgment indicating
τούτων ἔφθασε τὴν ἀποστολὴν ἱκετείαν προσποιησάμενος
of-these he-forestalled the dispatch supplication having-feigned
καὶ μετάνοιαν ὑποσχόμενος, ἣν ἅπαντες ἠξίουν με δέχεσθαι
and repentance having-promised which all thought-fit me to-accept
πλὴν ἐμοῦ· ἐγὼ γὰρ ἐδόκουν σαφῶς κατανενοηκέναι
except me I for thought clearly to-have-understood
τὸν ἄνθρωπον πάντα ῥᾴδιον εἰπεῖν καὶ ποιῆσαι, καὶ
the man all easy to-say and to-do and
προσεδεχόμην τε καὶ προύλεγον ὡς ἐκ τῆς τυχούσης αἰτίας
I-expected both and foretold that from the chance cause
εἰς τὴν φύσιν ἐπανελεύσεται, ὅν γε εἰκὸς ἀτολμότερον
into the nature he-will-return who indeed likely more-timid
ἔσεσθαι προσκεκυφότα ταῖς ἐκκλησίαις πολὺ μᾶλλον ἢ εἰ
to-be having-bowed-down to-the churches much rather than if
μηδὲν ὕποπτον αὐτῷ κατελείπετο. διὰ ταῦτα μὲν οἷος
nothing suspect to-him were-left because-of these-things indeed such-as
ἦν ἐγκαρτερῆσαι τῷ δόγματι, ὡς ἅμα τά τε πρὸς
I-was to-persist in-the decree as at-once the(-things) both toward
θεὸν εὐσεβέστερον βουλευσάμενος καὶ τὰ πρὸς τοὺς
god more-piously having-counseled and the(-things) toward the
πολίτας ὠφελιμώτερον. ἀλλ᾽ ἰταμὸν γὰρ ἀντισχεῖν ἕνα
citizens more-usefully but bold for to-hold-out one
πολλοῖς, παλαιτέροις νεώτερον, προσδεδαπανηκόσι τὸν βίον
against-many older-men younger against-men-having-spent the life
ἱερωσύνῃ τὸν οὔπω πέρυσιν ἡμμένον τοῦ πράγματος.
in-priesthood the(-one) not-yet last-year having-touched the thing
εἶξα δεομένοις μήπω περιπέμψαι τὰ γράμματα, δέξασθαι
I-yielded to-them-begging not-yet to-send-round the letters to-receive

δὲ ἐπὶ ῥητοῖς, ἐφ᾽ ᾧ μηκέτι μανεῖται κατὰ τῶν
but on stated-terms on condition no-longer he-will-rage against the
ὁμοτίμων, ἐφ᾽ ᾧ νοῦν ἀντὶ πάθους τοῦ βίου
peers on condition mind instead-of passion of-the life
προστήσεται. κἂν μέν, ἔφην, εἴσω μένῃς τῶν ὅρων οὓς
he-will-set-over and-if indeed I-said within you-remain the bounds which
ἔθου, νῦν τε ὑπερευξόμεθά σου τῆς ἁμαρτίας καὶ τοῦ
you-set now both we-shall-pray-over your the sin and for-the
λοιποῦ συνευξόμεθα· ἀναδυσαμένῳ δὲ τὰ τῆς ὁμολογίας
rest shall-pray-with-you having-drawn-back but the(-terms) of-the agreement
ἡ δίκη μένει καὶ εἰς ἅπαντα δημοσιευθήσεται, τοσοῦτον
the penalty awaits and to all will-be-published so-much
ἀνατεθεῖσα χρόνον, ὅσον ἐλέγξαι σου τὸν τρόπον
having-been-deferred time as-much-as to-prove your the character
ἀνεπανόρθωτον. ἔδοξε ταῦτα, καὶ πεῖραν αὐτός τε
incorrigible it-seemed-good these-things and trial he-himself both
ἔφη δώσειν καὶ ἡμᾶς λήψεσθαι. δέδωκε καὶ εἰλήφαμεν.
said to-give and us to-receive he-has-given and we-have-received
ἐπεδαψιλεύσατο ταῖς ὑποθέσεσι τῆς ἀποκηρύξεως. οὔπω
he-lavished the grounds of-the excommunication not-yet
τότε δήμευσις ἐτετόλμητο, οὔπω τότε φόνος ἐνεκεχείρητο.
then confiscation had-been-dared not-yet then murder had-been-attempted
πόσοι διὰ τοῦτον ἁλῶνται; πόσοι τῶν πρώην ἔτι
how-many because-of this-one are-wandering how-many of-the formerly still
κτηματικῶν διὰ τοῦτον πτωχεύουσιν; ἀλλὰ μικρὰ
propertied because-of this-one are-beggars but small-things
ταῦτα πρὸς τὸν εὖ μὲν γεγονότα Μάγνον, κακῶς δὲ
these compared-to the well indeed having-been-born Magnus ill but
ἀπολόμενον. κεῖται παῖς ἀνδρὸς λαμπροτάτου, ἅπασι τοῖς
having-perished lies son of-man most-illustrious with-all the
οὖσι λελειτουργηκὼς τῇ πόλει, τοῦ πρὸς ἕτερον φθόνου
possessions having-served the city of-the toward another envy

γεγονὼς παρανάλωμα. ᾐτεῖτο χρυσίον, ὃ μὴ διδοὺς
having-become by-product he-was-asked gold which not giving
ἐτύπτετο· καὶ διδούς, ὅτι πόρον ἐξεῦρεν ἐτύπτετο. τί
he-was-beaten and giving because means he-found he-was-beaten why
γάρ; οὐ τοῖς αὐτοῦ φίλοις ἀλλὰ τῷ στρατηγῷ τὸν ἀγρὸν
for not to-the his friends but to-the general the field
ἀπέδοτο. δακρύω μὲν ἐγὼ καὶ τὴν παρανομηθεῖσαν νεότητα
he-sold weep indeed I both the having-been-outraged youth
καὶ τὰς ἐπ᾽ αὐτῇ ματαίας ἐλπίδας τῆς πόλεως. ἀλλὰ τῆς
and the in it vain hopes of-the city but than-the
ἐκείνου νεότητος τὸ τῆς μητρὸς γῆρας ἐλεεινότερον, ὅτι
of-him youth the of-the mother old-age more-pitiable because
δυοῖν ἀρρένων ὃ μὲν οἴχεται φυγὰς δι᾽ Ἀνδρόνικον,
of-two males the(-one) indeed is-gone exile because-of Andronicus
καὶ οὐδὲ οἶδεν οἳ γῆς, τὸν δὲ οἶδεν οἳ γῆς
and not-even knows where of-earth the(-other) but she-knows where of-earth
κατορώρυχε. φεῦ τῶν νόμων τῶν συναδικουμένων, παρ᾽
she-has-buried alas for-the laws the(-ones) being-wronged-together against
οὓς ἄρχουσι τῆς ἑαυτῶν, παρ᾽ οὓς ἐπ᾽ ἀρχῇ δανείζονται
which they-rule of-the their-own against which for office they-borrow
χρήματα. τούτων μὲν οὖν ἑτέρους ἐπιμελητὰς ὁ θεὸς
moneys of-these indeed then others guardians — god
εἶναι βούλεται· ἡμῖν δὲ ἀπόχρη καθαρεύειν ἐν καθαροῖς,
to-be wishes for-us but it-suffices to-be-pure among pure
ἐὰν ἄρα δυνώμεθα μένειν εἴσω τῶν περιβόλων τῶν ἱερῶν,
if then we-can to-remain within the precincts the holy
ἀποκλείειν τε τοῖς ἐναγέσι τὰ παναγέστατα.
to-shut both to-the accursed the most-holy-things

73

Τρωΐλῳ

to-Troilus

Σὺ γὰρ δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος, σοί
you for indeed both philosopher are and humane to-you
με δεῖ προσανακλάεσθαι τὰς τῆς ἐνεγκούσης με
me it-is-needful to-lament-before the of-the(-land) having-borne me
συμφοράς, ἣν τιμήσεις μὲν διὰ πολίτην φιλόσοφον,
misfortunes which you-will-honor indeed because-of citizen philosopher
ἐλεήσεις δὲ διὰ τὸ τῆς σαυτοῦ φύσεως ἥμερον, δι᾽
you-will-pity but because-of the of-the your-own nature gentle because-of
ἀμφότερα δὲ πεσοῦσαν ἀνορθῶσαι πειράσῃ. δύνασαι δέ,
both but having-fallen to-set-up you-will-try you-are-able but
ἐπειδὴ σώζειν τὰς πόλεις Ἀνθέμιος καὶ φύσιν ἔχει καὶ
since to-save the cities Anthemius both nature has and
τύχην καὶ τέχνην. ᾧ πολλῶν ὑπαρξάντων εἰς τοῦτο
fortune and art to-whom many having-been-given for this
παρὰ θεοῦ τὸ μέγιστον ἀγαθὸν οἱ φίλοι, καὶ τούτων
from god the greatest good the friends and of-these
Τρωΐλος τὸ μέγιστον. ὅπως οὖν μὴ μόνον τὰς ὄψεις
Troilus the greatest so-that then not only the eyes
ἐπιβαλεῖς, ἀλλὰ καὶ τὸν νοῦν πάνυ σφόδρα προσέξεις
you-will-cast but also the mind very strongly you-will-apply
τοῖς γράμμασιν, ὧν ἐγὼ πολλὰ κατέσπεισα δάκρυα.
to-the letters over-which I many shed tears
τί γὰρ δὴ Φοινίκων μὲν οὐκ ἄρχουσι Φοίνικες, οὐδὲ
why for indeed of-Phoenicians indeed not rule Phoenicians nor
Κοιλοσύρων Κοιλόσυροι, Αἰγύπτιοι δὲ πάσης μᾶλλον
of-Coele-Syrians Coele-Syrians Egyptians but every rather
ἢ τῆς ἑαυτῶν, Λίβυες δὲ μόνοι τῆς ἑαυτῶν; ἢ μόνοι
than the their-own Libyans but alone of-the their-own or alone

Λίβυές εἰσιν ἀνδρειότατοι, καὶ χωρεῖν ὁμόσε τοῖς
Libyans are most-brave and to-go to-close-quarters with-the
νόμοις ἐγνώκασιν; ὧν ὅτε πλείω καὶ φοβερώτερα
laws have-resolved of-which when more and more-fearful
τοῖς παραβαίνουσι γέγονε τἀπιτίμια, τότε μᾶλλον αὐτοῖς
for-the transgressors became the-penalties then more in-them
αἱ πονηραὶ φύσεις ἐνεκυβίστησαν. ἔδει μὲν ἄρδην
the wicked natures tumbled it-was-needful indeed utterly
ἀνῃρῆσθαι τὴν πρὸς Κυρήνῃ Πεντάπολιν· ὁ δὲ λιμὸς
to-have-been-destroyed the near Cyrene Pentapolis the but famine
καὶ ὁ πόλεμος οὔπω πᾶν ὅσον ἔδει κατήνυσαν, ἀλλὰ
and the war not-yet all as-much-as was-needful accomplished but
διατρίβουσι καὶ κατὰ μικρὸν ἀπολλύουσιν. οὐκοῦν τὸ λεῖπον
they-linger and by little destroy therefore the remainder
εἰς τὸ ταχὺ κατειργάσθαι προσεξευρήκαμεν. καίτοι
to-provide certainly for from-Anagyrus to-you I-write and
Σφηττοῖ γέγονα καὶ Θριῶζε καὶ Κηφισιάσι καὶ Φαληροῖ.
in-Sphettus I-have-been and to-Thria and in-Cephisia and in-Phalerum
καὶ κακὸς κακῶς δεῦρό με κομίσας ἀπόλοιτο ναύκληρος·
and evil evilly hither me having-brought may-be-perish shipmaster
ὡς οὐδὲν ἔχουσιν αἱ νῦν Ἀθῆναι σεμνὸν ἀλλ᾽ ἢ τὰ κλεινὰ
as nothing has the present Athens august but than the famous
τῶν χωρίων ὀνόματα. καὶ καθάπερ ἱερείου διαπεπραγμένου
of-the places names and as of-victim having-been-done-for
τὸ δέρμα λείπεται γνώρισμα τοῦ πάλαι ποτὲ ζῴου, οὕτως
the skin is-left token of-the of-old once animal so
ἐνθένδε φιλοσοφίας ἐξῳκισμένης λείπεται περινοστοῦντα
from-here philosophy having-emigrated it-remains going-about

θαυμάζειν τὴν ἀκαδήμειάν τε καὶ τὸ Λύκειον καὶ νὴ
to-admire — Academy both and — Lyceum and by
Δία τὴν ποικίλην στοάν, τὴν ἐπώνυμον τῆς Χρυσίππου
Zeus the Painted Porch the(-one) named-after the of-Chrysippus
φιλοσοφίας, νῦν οὐκέτ' οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος
philosophy now no-longer being painted the for proconsul
τὰς σανίδας ἀφείλετο, αἷς ἐγκατέθετο τὴν τέχνην ὁ
the panels took-away in-which deposited the art the
ἐκ Θάσου Πολύγνωτος. νῦν μὲν οὖν ἐν τοῖς καθ' ἡμᾶς
from Thasos Polygnotus now indeed then in the among us
χρόνοις Αἴγυπτος τρέφει τὰς Ὑπατίας δεξαμένη γονάς, αἱ
times Egypt nourishes the of-Hypatia having-received offspring —
δὲ Ἀθῆναι, πάλαι μὲν ἦν ἡ πόλις ἑστία σοφῶν, τὸ δὲ
but Athens of-old indeed was the city hearth of-wise-men the but
νῦν ἔχον σεμνύνουσιν αὐτὰς οἱ μελιττουργοί. ταῦτ' ἄρα
now being make-august her the beekeepers these-things then
καὶ ἡ ξυνωρὶς τῶν σοφιστῶν τῶν Πλουταρχείων, οἵτινες
also the pair of-the sophists the Plutarcheans who
οὐ τῇ φήμῃ τῶν λόγων ἀγείρουσιν ἐν τοῖς θεάτροις
not by-the fame of-the speeches gather in the theaters
τοὺς νέους, ἀλλὰ τοῖς ἐξ Ὑμηττοῦ σταμνίοις.
the young but by-the from Hymettus jars

137

Ἑρκουλιανῷ

to-Herculian

Εἰ τῆς Ὀδυσσέως πλάνης κέρδος ἔφησεν Ὅμηρος πολλῶν
if of-the of-Odysseus wandering gain said Homer of-many
ἀνθρώπων ἰδεῖν τε ἄστεα καὶ νόον γνῶναι, καὶ ταῦτα
men to-see both cities and mind to-know and these-things

τῆς προσορμίσεως αὐτῷ γενομένης οὐ πρὸς ἄνδρας
the mooring to-him having-happened not to men
χαρίεντας ἀλλὰ πρὸς Λαιστρυγόνας καὶ Κύκλωπας, ἦπου
graceful but to Laestrygonians and Cyclopes surely
θαυμαστῶς ἂν ἦσεν ἡ ποίησις τὴν ἐμήν τε καὶ σὴν
wonderfully — would-have-sung the poetry the my both and your
ἀποδημίαν, παρασχοῦσαν ἡμῖν εἰς πεῖραν ἐλθεῖν τῶν
journey having-granted us to experience to-come of-the(-things)
καὶ διὰ φήμης ἀπιστουμένων. αὐτόπται γάρ τοι
even through report being-disbelieved eyewitnesses for in-truth
καὶ αὐτήκοοι γεγόναμεν τῆς γνησίας καθηγεμόνος τῶν
and ear-witnesses we-have-become of-the genuine guide of-the
φιλοσοφίας ὀργίων. εἰ δὲ καὶ ἀνθρωπικαὶ χρεῖαι τοὺς
of-philosophy rites if but even human needs the(-ones)
κοινωνήσαντας διαθέσει συνδέουσιν, ἡμᾶς κατὰ τὸν νοῦν
having-shared in-disposition bind-together us by the mind
τῶν ἐν ἡμῖν τὸ ἄριστον συγγενομένους θεῖος ἀπαιτεῖ
of-the(-parts) in us the best having-come-together divine demands
νόμος τἀλλήλων τιμᾶν. ἐγὼ μὲν οὖν καὶ τῆς
law the-things-of-one-another to-honor I indeed then also of-the
σωματικῆς συνηθείας ἀπολελαυκὼς ὁρᾶν τε ἀπόντα δοκῶ,
bodily intimacy having-enjoyed to-see both (you)-absent I-seem
τὸ ἐναποτεθὲν ἀπὸ τῆς διαθέσεως εἶδος προχειριζομένης
the having-been-stored from the disposition image bringing-forward
τῆς μνήμης, καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαστῶς
the memory and booms my in-the ears the wonderfully
γλυκεῖα τῶν ἱερῶν σου λόγων ἠχώ. σὺ δὲ ἡμῖν εἴπερ
sweet of-the holy your words echo you but to-us if-indeed
οὐχ οὕτως ἔχεις, ἀδικεῖς· εἰ δ' ἔχεις, οὐ μέγα ποιεῖς,
not so are-disposed you-do-wrong if but you-are not great-thing you-do
ἀποδίδως γὰρ διαθέσεως ὄφλημα. ὅταν δὲ πρὸς τὴν ἐν
you-pay for of-disposition debt when but to the in

φιλοσοφίᾳ κοινωνίαν ἀπίδω καὶ φιλοσοφίαν ἐκείνην περὶ
philosophy fellowship I-look and philosophy that about
ἧς πολλὰ συγκεκύφαμεν, ἐνταῦθα ἤδη τοῦ λογισμοῦ
which much we-have-pored-together there already in-the reasoning
γενόμενος θεῷ βραβευτῇ τὴν συντυχίαν ἡμῶν ἀνατίθημι.
having-come to-god arbiter the meeting our I-ascribe
οὐ γὰρ ἂν ἀπ᾽ ἐλάττονος ἢ θείας αἰτίας Συνέσιος, ὁ
not for — from lesser than divine cause Synesius the(-one)
τὸ πρᾶγμα ἥκιστα δημοσιεύων καὶ πλείστοις μὲν συνὼν
the thing least making-public and with-most indeed being
ἐπ᾽ ἀνθρωπικαῖς δὲ κοινωνίαις τὰς συνουσίας ποιούμενος,
on human but fellowships the associations making
φιλοσοφίαν δ᾽ ἐν ἀρρήτων ἀρρητοτάτοις ἔχων, οὕτω
philosophy but among secret most-secret-things holding so
προχείρως ἐμαυτόν τε καὶ τὰ ἐμαυτοῦ κτήματα ἀνεκάλυψα
readily myself both and the my-own possessions uncovered
ἀνδρὶ κατὰ βραχὺ δόντι μοι καὶ λαβόντι τὸν λόγον.
to-man in brief having-given to-me and having-received the word
ἐπεὶ δ᾽ οὖν γέγονέ τις οὗτος πρὸς ὃν ἐξωρχησάμην
since but then has-become someone this-one to whom I-danced-out
τὰ τέως ἀνέκπυστα, καὶ τῆς σοφῆς τοῦ Πρωτέως
the(-things) till-then unrevealed and the wise — of-Proteus
ἐπελαθόμην τέχνης (οὐ γὰρ ἄλλη τις ἦν ἢ συνεῖναι τοῖς
forgot art not for other any was than to-be-with the
ἀνθρώποις οὐ θείως ἀλλὰ πολιτικῶς), ἐπεὶ γέγονε τοῦτο,
men not divinely but politically since has-become this
οὐ προθεμένης μοι τῆς γνώμης ἀλλ᾽ ἀκατασκεύαστον οὕτω
not having-proposed to-me the judgment but unprepared so
παρελθόν, ἐγὼ θεὸν ἡγεμόνα τοῦ παραδόξου λογίζομαι,
having-come-about I god leader of-the paradox reckon
παρ᾽ οὗ τέλος αἰτήσομεν τῶν δι᾽ αὐτὸν ἠργμένων.
from whom end we-shall-ask of-the(-things) through him having-been-begun

καὶ δοίη μετ᾽ ἀλλήλων φιλοσοφεῖν· εἰ δὲ μὴ τοῦτο,
and may-he-grant with one-another to-philosophize if but not this
πάντως φιλοσοφεῖν. ὡς ἔγωγε ἐνόντας μοί τινας τῇ ψυχῇ
wholly to-philosophize as I being-in me some in-the soul
λόγους περὶ τῆς ὑποθέσεως ἣν ἐπραγματευόμεθα καταχέαι
words about the subject which we-were-working-at to-pour-down
μὲν ὠδίνω τῆς ἐπιστολῆς, οὐ μὴν τοῦτο ποιήσω.
indeed am-in-labor over-the letter not however this I-will-do
σοὶ μὲν γὰρ ἂν κατὰ θεὸν γένοιτο συγγενέσθαι
to-you indeed for — according-to god it-would-happen to-be-with
καὶ ἡμῖν περὶ τούτων καὶ πολλοῖς ἄμεινον εἰδόσιν· ἐμοὶ
also with-us about these-things and with-many better knowing to-me
δὲ οὐ καλῶς ἔχει γραμματείῳ πιστεύειν τὰ τοιάδε.
but not well it-is to-a-tablet to-entrust the(-things) such
τὸ γὰρ τῆς ἐπιστολῆς πρᾶγμα οὐκ ἐχέμυθον, ἀλλὰ
the for of-the letter thing not discreet but
φύσιν ἔχει τῷ περιτυχόντι προσδιαλέγεσθαι. ἔρρωσο, καὶ
nature has to-the chance-comer to-converse farewell and
φιλοσόφει καὶ διατέλει τὸ ἐν ἡμῖν ἀνακεχωσμένον ὄμμα
philosophize and continue the in us having-been-buried eye
ἀνορύττων. τὸ γάρ τοι βιοῦν ὀρθῶς, ἅτε ὂν οἶμαι
digging-up the for in-truth to-live rightly as being I-think
προοίμιον τοῦ φρονεῖν, ὑπὸ τῶν ἀρχαίων καὶ φρονίμων
prelude of-the to-think by the ancient and prudent
ἀνδρῶν σπουδάζεσθαι κατεδείχθη. μὴ καθαρῷ γὰρ καθαροῦ
men to-be-pursued was-shown not for-one-pure for the-pure
ἐφάπτεσθαί φησιν οὐ θεμιτὸν ἡ θεσπεσία φωνή. οἱ πολλοὶ
to-touch says not lawful the divine voice the many
δὲ οὐ διὰ τὸ φρονεῖν ἀλλ᾽ αὐτὸ δι᾽ αὐτό, καὶ τελειότητα
but not because-of the to-think but it for itself and perfection
ἀνθρωπίνην ἤγηνται τὸ βιοῦν ὀρθῶς, τὴν ὁδὸν οὐχ ὁδὸν
human have-thought the to-live rightly the road not road

ἀλλ᾽ ἐφ᾽ ὃ δεῖ δι᾽ αὐτῆς φθάσαι νομίζοντες, κακῶς
but to what it-is-needful through it to-reach thinking ill
φρονοῦντες· σωφροσύνη γὰρ ἄλογος καὶ ἀποχὴ κρεωδαισίας
thinking temperance for irrational and abstinence from-flesh-eating
πολλὴ παρὰ πολλοῖς ἀλόγοις εἴδεσιν ἐνδέδοται παρὰ τῆς
much among many irrational species has-been-given by the
φύσεως. ἀλλ᾽ οὐχ ἐπαινοῦμεν οὔτε κορώνην οὔτ᾽ ἄλλο
nature but not we-praise either crow or other
τι τῶν εὑρομένων φυσικὴν ἀρετήν, ὅτι φρονήσεως
any of-the(-things) having-found natural virtue because of-prudence
ἔρημα. ἡ δὲ κατὰ νοῦν ζωὴ τέλος ἀνθρώπου. ταύτην
destitute the but according-to mind life end of-man this
μετίωμεν, θεόθεν τε αἰτοῦντες θεῖα φρονεῖν, καὶ αὐτοὶ
let-us-pursue from-god both asking divine-things to-think and ourselves
τὸν δυνατὸν τρόπον τὸ φρονεῖν ἁπανταχόθεν συλλέγοντες.
the possible way the to-think from-everywhere gathering

138

Τῷ αὐτῷ

to-the same

Ἤκουσά του τῶν δεινῶν λέγειν ἀνδρὸς ἐπαινοῦντος χρείαν
I-heard someone of-the clever-men speaking man praising use
ἐπιστολῆς, καὶ τοῦτ᾽ αὐτὸ τῶν πολλῶν καὶ θαυμαστῶν
of-letter and this itself of-the many and wonderful
λόγων ὁ σοφιστὴς ὑπόθεσιν ἐπεποίητο. ἐχορηγεῖτο δὲ αὐτῆς
speeches the sophist subject had-made was-furnished but of-it
τὸ ἐγκώμιον πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δὲ ἀπὸ τοῦ
the encomium in-many-ways indeed also otherwise most but from the
δύνασθαι τὴν ἐπιστολὴν ἐρώτων οὐκ εὐτυχούντων εἶναι
to-be-able the letter of-loves not prospering to-be

παραμυθίαν, παρεχομένην ἐν ἀπουσίᾳ σωμάτων φαντασίαν
consolation providing in absence of-bodies image
τῆς παρουσίας, καὶ τῷ δοκεῖν προσδιαλέγεσθαι ψυχῆς
of-the presence and by-the to-seem to-converse of-soul
ἐκπιμπλᾶσαν τὸ ἐφιέμενον. ταῦτ᾽ οὖν ἀνύμνει τὸν εὑρετὴν
filling the longing these-things then he-hymned the discoverer
τῶν γραμμάτων, καὶ ἀνθρώπων μὲν οὐδενὸς ἠξίου θεοῦ
of-the letters and of-men indeed of-none he-thought-it of-god
δὲ εἰς ἀνθρώπους εἶναι τὴν δόσιν. ἐγὼ μὲν οὖν ἀπολαύω
but to men to-be the gift I indeed then enjoy
τῆς ἱερᾶς τῆσδε τοῦ θεοῦ χάριτος, καὶ πρὸς ὃν ἔδει
the holy this — of-god grace and to whom it-were-needful
λαλεῖν, εἰ μὴ δύναμαι λαλεῖν, ἀλλ᾽ ἐπειδὴ γράφειν δύναμαι,
to-chat if not I-can to-chat but since to-write I-can
θαμὰ τοῦτο ποιῶ, καὶ κατὰ τὸ ἐνδεχόμενον σύνειμι,
often this I-do and as-far-as the possible I-am-with-him
καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. αὐτὸς δέ, εἰ μὴ
and enjoy the my darling you-yourself but if not
πικρὸν εἰπεῖν, συνδιέστησας τῷ τόπῳ τὴν γνώμην.
bitter to-say you-have-separated with-the place the mind
κἂν μὴ παύσῃ σαυτὸν ἀφέλκων τῶν ἀδολώτατα
and-if not you-stop yourself drawing-away from-the(-ones) most-guilelessly
καὶ ἀσκήνως ἠγαπηκότων, ἐμιμήσω τὰς χελιδόνας,
and without-pretense having-loved you-have-imitated the swallows
αἳ ταῖς τῶν ἀνθρώπων οἷον φιλίαις ἐνοικίζονται μὲν
which in-the of-the men so-to-speak friendships settle indeed
μετὰ τοῦ φθέγγεσθαι, σιωπῶσαι δὲ ἐξοικίζονται· ταῦτα
with the singing being-silent but move-out these-things
πρὸς ἄνθρωπον ἔτι, καὶ ἀνθρωπικὰ τὰ ἐγκλήματα· εἰ δὲ
to man still and human the charges if but
ἥνωσας διὰ φιλοσοφίας τὰ δεῦρο διεστῶτα, καὶ
you-have-united through philosophy the(-things) here standing-apart and

φίλον μὲν τὸ καλόν, καλὸν δὲ τὸ αὐτό, τοῦτο δὲ ἓν ὂν
dear indeed the beautiful beautiful but the same this but one being
τοῦ νοῦ λέγοντος ἤκουσας, οὐκέτι κρίνομεν ὑπεροψίαν
from-the mind saying you-have-heard no-longer we-judge disdain
τὴν πρὸς ἡμᾶς σιωπήν, ἀλλὰ συνηδόμεθα φιλοσοφοῦντι
the toward us silence but we-rejoice-with-you philosophizing
καὶ παραιτουμένῳ μὲν τὸ σμικροπρεπεύεσθαι, συνόντι δὲ
and declining indeed the to-be-petty being-with but
τῷ παρὰ σοὶ κρείττονι τοῖς ἐν ἡμῖν κρείττοσιν. εἴης
the in you better the in us better may-you-be
τοιοῦτος, ἀνδρῶν ἄριστε καὶ ἐμοὶ τριπόθητε ὄντως ἀδελφέ.
such of-men best and to-me thrice-longed-for truly brother

139

Τῷ αὐτῷ

to-the same

Εἰ τοσοῦτόν ἐστι κέντρον πειθοῦς ἐν τοῖς γράμμασιν,
if so-great is goad of-persuasion in the letters
εἰ τοσοῦτον αἱ τῶν ἠθῶν εἰκόνες τῆς ζώσης
if so-great the of-the characters images of-the living
χηρεύουσαι συμπαθείας καὶ χάριτος θέλκτρον ἐνιᾶσι
bereft sympathy also of-charm spell send-into
τοῖς ἀναγινώσκουσιν, ἦπου πρᾶγμα ἄμαχον ἂν εἴη
the(-ones) reading surely thing irresistible — would-be
τὸ αὐτοπροσώπως αὐτῶν ἐπαφήσασθαι. ἐμέ γέ τοι
the in-person them to-touch me indeed in-truth
καὶ παρὸν μὲν ᾕρεις τῇ γλυκείᾳ Σειρῆνι τῶν
also present indeed you-captured with-the sweet Siren of-the
λόγων· οὐ μὴν αἰσχυνθείην ἂν ἀληθῆ λέγων, ὡς ἡδίων
words not however I-would-be-ashamed — true-things saying that sweeter

ἂν ἡ δευτέρα μοι πεῖρα γένοιτο. οὐ γὰρ ἂν γένοιτο
— the second to-me trial would-be not for — would-be
ἀγαθοῦ παρόντος ὥσπερ ἀπόντος τῷ πεπειραμένῳ
of-good being-present as being-absent for-the(-one) having-experienced
συναίσθησις. τοῦ μὲν γὰρ ἡ συνέχεια τῆς ἀπολαύσεως
awareness of-the(-one) indeed for the continuity of-the enjoyment
κλέπτει τῆς εὐφροσύνης τὴν αἴσθησιν, ὁ δὲ κατὰ μικρὸν
steals of-the gladness the perception the(-one) but by little
χωρισθεὶς τῶν ἡδέων εὐθὺς ἔχει κεντοῦσαν ἐκ
having-been-separated from-the pleasant-things straightway has stinging from
παραλλήλου τὴν μνήμην οἵων ἄρα ὄντως στερίσκεται.
alongside the memory of-what-things then truly he-is-deprived
ἔλθοις οὖν, φιλτάτη κεφαλή, καὶ ἀλλήλοις ἐπὶ
may-you-come then dearest head and with-one-another in
φιλοσοφίᾳ συγγενοίμεθα, τοῖς ἐνηργμένοις πρέποντα
philosophy may-we-be-together on-the(-things) having-been-begun fitting-things
ἐποικοδομοῦντες, ἵν' ἐκ τελέων τέλεον ἐκφανῇ κάλλος
building that from complete-things complete may-appear beauty
ἀλλὰ μὴ κολοβόν. εἰ δέ, ὅπερ ἀπεύχεσθαι δίκαιον, ἀλλήλων
but not docked if but which to-pray-against just from-one-another
διαμάρτοιμεν, δῆλον ὡς τοὐμόν ἐστι τὸ βλαπτόμενον.
we-should-fail clear that mine is the(-thing) being-harmed
σοὶ μὲν γὰρ εὐτυχούσης ἐνθάδε πολυανδρίαν παιδείας
with-you indeed for faring-well here populousness of-education
συνέσονται πολλοὶ Συνεσίου καὶ βελτίους καὶ ὅμοιοι· ἡ δὲ
will-be-with many than-Synesius both better and like the but
πατρὶς ὅτι μὲν πατρὶς ἐμοὶ τίμιον, πρὸς δὲ φιλοσοφίαν
fatherland that indeed fatherland to-me precious toward but philosophy
οὐκ οἶδ' ὅντινα τρόπον ἀπεσκληκότως ἔχει. ἔστιν οὖν οὐκ
not I-know in-what way hardened it-is it-is then not
ἀδεὲς ἀβοηθήτῳ μένειν, οὐκ ὄντος τοῦ συγκορυβαντιῶντος.
fearless unaided to-remain not being the fellow-corybant

εἰ δὲ δὴ καὶ δοίημεν εἶναί τινας, πῶς ἂν ἔπειτ᾽ Ὀδυσῆος
if but indeed also we-should-grant to-be some how — then of-Odysseus
ἐγὼ θείοιο λαθοίμην; πρὸς ποῖον ἄλλο πυρεῖον παρατριβεὶς
I divine could-forget against what other fire-stick having-been-rubbed
μετὰ τὴν ἱεράν σου ψυχὴν ἀποτέκοιμι τοῦ νοῦ φωτοειδὲς
after the holy your soul might-I-bring-forth of-the mind luminous
ἔκγονον; τίς οὕτως οἷος σφοδρῶς σπινθῆρα κεκρυμμένον
offspring who so such-as vehemently spark having-been-hidden
καὶ ἀγαπῶντα λανθάνειν μηχαναῖς ἁπάσαις ἐκκαλέσασθαι
and loving to-escape-notice by-devices all to-call-forth
καὶ ἐξάψαι καὶ πῦρ λαμπρὸν ἀναδεῖξαι; θεὸς οὖν ἀμφοῖν
and to-kindle and fire bright to-show god then to-both
ἀποῦσί τε καὶ συνοῦσι παρείη· θεοῦ δὲ παρόντος
being-absent both and being-together may-he-be-present god but being-present
ἅπαν ἄπορον πόριμον. ἔρρωσο καὶ φιλοσόφει, καὶ τὸ ἐν
all impassable passable farewell and philosophize and the in
σαυτῷ θεῖον ἄναγε ἐπὶ τὸ πρωτόγονον θεῖον. καλὸν γὰρ
yourself divine lead-up to the first-born divine fine for
ἅπασαν ἐμὴν ἐπιστολὴν τοῦτο παρ᾽ ἐμοῦ τῇ τιμίᾳ σου
every my letter this from me to-the honored your
διαθέσει λέγειν, ὅ φασι τὸν Πλωτῖνον εἰπεῖν τοῖς
disposition to-say which they-say — Plotinus to-have-said to-the(-ones)
παραγενομένοις ἀναλύοντα τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.
having-been-present releasing the soul from the body

140

Τῷ αὐτῷ

to-the same

Τῶν ἐρώτων οἱ μὲν χαμαὶ ἐρχομένας καὶ ἀνθρωπικὰς
of-the loves the(-ones) indeed on-ground going and human
τὰς ἀρχὰς ἔχοντες ἀπεχθεῖς τέ εἰσι καὶ ἐξίτηλοι, τῇ
the beginnings having hateful both are and fading by-the
παρουσίᾳ μόνῃ καὶ μόλις μετρούμενοι· οἷς δὲ ὁ
presence alone and scarcely being-measured to-whom but the
ἐφεστὼς βραβεύει θεός, κατὰ τὴν θεσπεσίαν Πλάτωνος
presiding arbitrates god according-to the divine of-Plato
φωνὴν συντήξας τῇ τέχνῃ καὶ ἕνα ἄμφω ποιήσας
voice having-fused with-the art and one both having-made
τοὺς ἀντερῶντας, οὗτοι καὶ χρόνου καὶ τόπου φύσιν
the lovers-in-return these both of-time and of-place nature
ἐλέγχουσιν. οὐδὲν γὰρ ἐμποδὼν ψυχαῖς ἐφιεμέναις ἀλλήλων
refute nothing for in-the-way to-souls longing-for one-another
ἀρρήτοις συνόδοις ὁμόσε χωρεῖν καὶ συμπλέκεσθαι.
by-ineffable meetings to-close-quarters to-go and to-be-entwined
ἐκεῖθέν ποθεν ἠρτῆσθαι δεῖ τὸ ἡμέτερον, εἰ μὴ
from-there somewhere to-hang it-is-needful the our if not
τὰ φιλοσοφίας τροφεῖα μέλλοιμεν αἰσχύνειν, αἴσθησιν
the of-philosophy wages-of-nurture we-are-going to-disgrace sensation
ἀγαπῶντες καὶ ὅταν αὕτη μὴ ὑπὸ σωμάτων θυροκοπῆται,
loving even when it not by bodies is-knocked-at
ψυχῆς παρουσίαν οὐ προσιέμενοι. τί οὖν ποτνιᾷ καὶ
of-soul presence not admitting why then do-you-cry-alas and
ταῖς ἐπιστολαῖς τῶν δακρύων ἐγχεῖς; εἰ μὲν γὰρ ἡμᾶς
into-the letters of-the tears pour if indeed for us
ἐλεῶν ὅτι μήπω φιλοσοφοῦμεν, καὶ ταῦτα δοκοῦντες καὶ
pitying that not-yet we-philosophize and these-things seeming and

λέγοντες, ἐπιγινώσκω τοῦ θρήνου τὴν ἀλήθειαν· εἰ δ' ὅτι
saying I-recognize of-the lament the truth if but that
τὴν συνουσίαν ἡμῶν ἠδίκησεν ἀγνώμων τύχη (τοῦτο γάρ
the company our wronged unfeeling fortune this for
σοι τῶν ἐπιστολῶν τὸ βούλημα), θῆλυ καὶ παιδαριῶδες
to-you of-the letters the meaning womanish and childish
τὸ ταῦτα ἀγαπᾶν ἐφ' ὧν δύναται βλάπτειν ὁ δαίμων
the these-things to-love over which can harm the fate
τὰ τέλη τῶν προαιρέσεων. ἐγὼ δὲ τὴν ἱερὰν κεφαλὴν τὸν
the ends of-the choices I but the holy head —
Ἡρκουλιανὸν ἠξίουν ἄνω βλέπειν καὶ ὅλον εἶναι θεωρὸν
Herculian thought-fit up to-look and whole to-be beholder
τῶν ὄντων καὶ τῆς τῶν θνητῶν ἀρχῆς, τὰς ἀρετὰς
of-the beings and of-the of-the mortals beginning the virtues
διαβάντα καὶ πάλαι τὰς ἀπεστραμμένας καὶ κοσμούσας
having-passed and of-old the(-ones) having-turned-away and adorning
τὰ δεῦρο. καὶ ὡς πρὸς τοιοῦτόν μοι τῆς ἐπιστολῆς τὸ
the(-things) here and as to such to-me of-the letter the
πρόσρημα πολλὰ φρονεῖν, οὐ χαίρειν οὐδ' εὖ πράττειν, τὸ
salutation much to-be-wise not to-rejoice nor well to-fare the
μετριώτερον. ἐπιστατεῖ γὰρ ταῖς πράξεσι νοῦς ἐλάττων,
more-moderate presides for over-the actions mind lesser
οὐχ ὃν ἠξίουν ἀνακεχῶσθαι παρὰ σοί. περὶ οὗ
not that-which I-thought-fit to-have-been-buried with you about which
σοι καὶ πάμπολλα διὰ δύο τῶν πρώτων ἐπιστολῶν
to-you also very-many-things through two of-the first letters
διελέχθην, ὧν οὐδεμίαν οἱ λαβόντες ἐπιδεδώκασιν.
I-conversed of-which none the(-ones) having-received have-delivered
ἐπεί τοι πέμπτην ταύτην ἐκπέμπω τὴν ἐπιστολήν. ἀλλ'
since in-truth fifth this I-send the letter but
εἴθε μὴ καὶ ταύτην μάτην. γένοιτο δ' ἂν οὐ μάτην,
would-that not also this in-vain it-would-be but — not in-vain

εἰ πρῶτον μὲν ἐπιδοθείη, τὸ δ' ἐπὶ τούτῳ καὶ τούτου
if first indeed it-were-delivered the but on this also than-this
σεμνότερον, κατανουθετήσει σε καὶ παιδαγωγήσει καὶ
more-august it-will-admonish you and educate and
πείσει μεταθεῖναι τὴν τοῦ σώματος ἰσχὺν ἐπὶ τὴν τῆς
persuade to-change the of-the body strength to the of-the
ψυχῆς ἀνδρείαν, οὐ τὴν ἐκ τῆς πρώτης καὶ περιγείου
soul courage not the(-one) from the first and earthly
τετρακτύος τῶν ἀρετῶν, ἀλλ' ἐπὶ τὴν ἀνάλογον ἐν τρίταις
tetrad of-the virtues but to the analogous in third
καὶ τετάρταις. ἅψαιο δ' ἂν αὐτῆς, ὅταν μηδὲν τῶν
and fourth you-would-touch but — it when nothing of-the
ἀνθρωπίνων θαυμάζῃς. κἂν μήπω σοι σαφὴς ἡ διαίρεσις
human-things you-admire and-if not-yet to-you clear the distinction
ᾖ τοῦ λελεγμένου, τίνες ἀρχεγονώτεραι καὶ τίνες αἱ
is of-the(-thing) having-been-said which more-primal and which the
πολλοσταὶ τῶν ἀρετῶν, τὸ ἐπὶ μηδενὶ κλάειν ἀλλὰ πάντων
last of-the virtues the at nothing to-weep but all
τῶν τῇδε ἐν δίκῃ καταφρονεῖν ὅταν σοι παραγένηται,
the(-things) here with justice to-despise when to-you it-comes
τοῦτο ἔστω σοι κανὼν καὶ κριτήριον τῶν πρώτων τῆς
this let-be for-you rule and criterion of-the first of-the
τεύξεως, ἵνα σοι καὶ παρ' ἡμῶν τὸ πολλὰ φρονεῖν ἐν ταῖς
attainment that to-you also from us the much to-be-wise in the
ἐπιστολαῖς ἐπανέλθῃ. ἐρρωμένος διαβιώῃς, φιλοσοφίας
letters may-return in-strength may-you-live-on philosophy
εὐθυμίαν πρυτανευούσης ἀκύμονα, δέσποτα ἀξιάγαστε. εἰ
cheerfulness presiding-over waveless master admirable if
φιλοσοφία πρεσβεύειν οἶδεν ἀπάθειαν αὐτήν, αἱ μέσαι δὲ
philosophy to-revere knows passionlessness itself the middle but
ἕξεις εἰς μετριοπάθειαν ἵστανται, τὴν ἀπειροπάθειαν καὶ
states at moderation-of-passion stand the inexperience-of-passion and

τὸ εὐταπείνωτον ποῦ χώρας τάξομεν; ἆρ᾽ οὐχὶ πόρρω
the easily-humbled where of-place shall-we-rank — not far
φιλοσοφίας, ἧς μύστην γενέσθαι σε κατηυξάμεθα; μὴ
from-philosophy of-which initiate to-become you we-prayed not
δῆτα, ὦ πάντων ἐμοὶ προσφιλέστατε, ἀλλ᾽ ἀρρενωπότερον
indeed O of-all to-me dearest but more-manly
ἡμῖν τὸν φίλον ὑποδείκνυε. ἅπασά μου ἡ οἰκία κατεδεήθη
to-us the friend show all my the house begged
προσειπεῖν σε ὑπὲρ αὐτῆς. προσείρησο οὖν παρὰ πάντων,
to-greet you for itself be-greeted then by all
ἑκάστου μόνον οὐκ ἐγχέαντος τὴν ψυχὴν τῇ προσρήσει.
each only not having-poured the soul into-the greeting
καὶ αὐτὸς ὑπὲρ ἡμῶν τὸν ἱπποτοξότην πρόσειπε, παρακαλῶ.
and yourself for us the mounted-archer greet I-urge

141

Τῷ αὐτῷ

to-the same

Μὴ θαυμάσῃς εἰ διακομιστῇ δυοῖν ἐπιστολῶν ἑνὶ χρῶμαι,
not wonder if as-bearer of-two letters one I-use
ἀλλὰ πρῶτον μὲν αἰσθάνου δίκας ὑπέχων ἐγκλήματος
but first indeed perceive penalty paying for-charge
ἀκαίρου καὶ ἐμφοροῦ τῆς ἀδολεσχίας ἡμῶν, εἶτα καὶ χρείαν
untimely and take-your-fill of-the garrulity our then also use
ἑτέραν ἐθέλω μοι πληρῶσαι τὰ δεύτερα γράμματα. αἰτῶ
other I-wish for-me to-fulfill the second letters I-ask
γὰρ τὸ ἐν ἰάμβοις ἐκεῖνο συνταγμάτιον, δι᾽ οὗ πρὸς τὴν
for the in iambics that little-treatise through which to the
ψυχὴν ὁ γεγραφὼς διαλέγεται. ἐπεὶ τότε μὲν ᾤμην ἀπὸ τῆς
soul the having-written converses since then indeed I-thought from the

μνήμης αὐτὸ συναθροίσειν, νῦν δὲ κινδυνεύει τὸ ἀντ᾽
memory it to-gather-together now but there-is-risk the(-thing) instead-of
ἐκείνου μηδὲν εἶναι πρὸς ἐκεῖνο, ἀλλ᾽ ἂν ἐπιτρέψω τῷ
it nothing to-be compared-to that but if I-entrust-it to-the
γράφειν, γνώμῃ μᾶλλον ἢ μνήμῃ χρήσομαι. καὶ ἴσως μὲν
writing judgment rather than memory I-shall-use and perhaps indeed
χεῖρον, ἴσως δὲ καὶ βέλτιον. οὐ μὴν δεῖ τίκτειν δὶς τὸν
worse perhaps but also better not however it-is-needful to-bear twice the
αὐτὸν τόκον, ἐξὸν ἔχειν τὸ τετεγμένον. ἀντίγραφον
same offspring it-being-possible to-have the(-thing) having-been-borne copy
οὖν τῆς τετράδος ἀπόστειλον, πρὸς αὐτῆς τῆς ψυχῆς, ἣν
then of-the quire send by very the soul which
κοσμεῖν βούλεται τὸ βιβλίον. ἀλλ᾽ ὅπως τάχιστά τε καὶ
to-adorn wishes the book but how quickest both and
ἀσφαλῶς, τοῦτ᾽ ἔστιν, εἰ διὰ τῶν πάντως ἀποδωσόντων
safely that is if through the(-ones) surely going-to-deliver
ποιήσεις· τῷ γὰρ παρὰ θάτερον διαμαρτεῖν πάντως οὐ
you-will-do-it by-the for in the-one to-fail surely not
ποιήσεις· κἂν σχολαίτερον ἀποστείλῃς (ὑστερήσει γάρ μου
you-will-do-it both-if more-slowly you-send it-will-come-after for my
τῆς παρουσίας), κἂν δῷς τῷ μὴ πάντως δώσοντι.
the presence and-if you-give to-the(-one) not surely going-to-give

He disowns the Proteus Herculian finds in him: the hero is Herculian, Odysseus and Menelaus both, who broke Synesius's silence; he greets the count who joins learning and soldiering. He rebukes Herculian for showing their teaching to the unworthy, who babble half-learned doctrines, commends Phoebammon, asks his help recovering a runaway slave, confesses himself softened by his letters as by the Sirens, and congratulates John on taking up the monastic life.

142

Τῷ αὐτῷ

to-the same

Τὸν μὲν Ὀδυσσέα διὰ τῆς ἐπιστολῆς ἐπέγνων, πολλῶν
— indeed Odysseus through the letter I-recognized many
ἐπαναγόντων ἐπὶ τὴν μνήμην τοῦ ἥρωος· τὸν δὲ Πρωτέα
bringing-back to the memory of-the hero — but Proteus
ἠγνόησα. σὲ μὲν γὰρ ὄντα τοιόνδε καὶ ἡμιθέων ψαύειν οὐκ
I-did-not-know you indeed for being such also demigods to-touch not
ἀπεικός, ἐγὼ δὲ ἄλλο μέν τι σοφός, κατὰ δὲ τὸ
unlikely I but in-other indeed something wise according-to but the
Δελφικὸν γράμμα ἐμαυτὸν ἐγνωκὼς καταδικάζω πενίαν τῆς
Delphic inscription myself having-known I-condemn poverty of-the
φύσεως, καὶ ἀπογινώσκω τὴν εἰς ἥρωας οἰκειότητα, πλὴν
nature and renounce the toward heroes kinship except
ὅσον μιμητὴς εἶναι τῆς ἐχεμυθίας ηὐξάμην, ἣν καὶ αὐτὴν
so-far-as imitator to-be of-the discretion I-prayed which also itself
σύ μοι συνέχεας κατὰ τὸν ἐκ Σπάρτης Μενέλαον. ὥστε
you me confounded after the from Sparta Menelaus so-that
κινδυνεύεις συνωρίδι προσήκειν ἡρώων, οὐχ Ὀδυσσεῖ μόνῳ.
you-run-risk to-pair to-belong of-heroes not to-Odysseus alone
ταῦτα μὲν ταύτῃ. τὴν δὲ ἀνεπιτηδειότητα τοῦ γράφειν
these-things indeed in-this-way the but unfitness of-the to-write

μεμψάμενος οὐκ εἶ δίκαιος ἀπαιτεῖν πλῆθος ἀνιασόντων
having-blamed not you-are just to-demand multitude of-going-to-grieve
γραμμάτων· διὸ συνέστειλα τῆς ἐπιστολῆς τὸ μῆκος, ἵνα
letters wherefore I-contracted of-the letter the length that
μὴ πόνος ᾖ πλείων ἀναγινώσκοντι πλέονα. ἐρρωμένος
not toil may-be more for-one-reading more in-strength
εὔθυμος διαβιῴης, φιλοσοφίᾳ χρώμενος εἰς τὸ θεῖον
cheerful may-you-live-on philosophy using toward the divine
ποδηγετούσῃ, ἀξιάγαστε. τὸν θαυμάσιον κόμητα πρόσειπε,
guiding admirable the admirable count greet
πρὸς ὃν αὐτοπροσώπως ποιεῖσθαι προσρήσεις ἑαυτοῖς
to whom in-person to-make greetings to-ourselves
οὐκ ἐπετρέψαμεν. τὸ γὰρ ἐκ τῆς ποιήσεως ἄρχε, σὺ γὰρ
not we-permitted the for from the poetry begin you for
γενεῇφι νεώτερος· πολέμου μὲν γὰρ καὶ στάσεως ἄρχεσθαι
in-birth younger of-war indeed for and faction to-begin
δικαιοῖ τὸν νέον, φιλοφροσύνης δὲ τὸν πρεσβύτερον.
he-thinks-it-right the young of-friendliness but the elder
καίτοι παρ᾽ ἐμοὶ τίμιος ὁ ἀνὴρ καὶ παντὸς ἄξιος, ὃς παιδείαν
and-yet with me honored the man and of-all worthy who education
καὶ στρατείαν διατετειχισμένας θριγκοῖς μεγάλοις τῶν
and soldiering having-been-walled-apart by-copings great of-the(-men)
ἐφ᾽ ἡμῖν μόνος εἰς ταὐτὸν ἤγαγε, παλαιάν τινα ἐξευρὼν ἐν
in our-time alone into the-same brought ancient some having-found in
τοῖς ἐπιτηδεύμασι τούτοις συγγένειαν. μεγαλόφρων δὲ ὢν ὡς
the pursuits these kinship great-minded but being as
οὐδείς πω στρατιώτης, ἐκ γειτόνων τῆς μεγαλοφροσύνης
no-one ever soldier from neighbors of-the magnanimity
παροικοῦσαν τὴν ἀλαζονείαν ἐκφεύγει. τὸν οὖν τοιοῦτον,
dwelling-beside the boastfulness he-escapes the then such-a-man
κἂν μὴ γράφω, φιλῶ, κἂν μὴ θεραπεύω, τιμῶ.
even-if not I-write I-love even-if not I-court I-honor

143

τῷ αὐτῷ
to-the same

Οὐκ ἐμπεδοῖς τὰ ὡμολογημένα πρὸς ἡμᾶς, ὦ φιλότης,
not you-keep-firm the(-things) having-been-agreed with us O dear-friend
μὴ ἔκπυστα ποιεῖν τὰ ἄξια κρύπτεσθαι. ὡς ἐγώ
not public to-make the(-things) worthy to-be-hidden as I
τινων ἤκουσα τῶν ἀφικομένων παρὰ σοῦ, οἳ καὶ
from-some heard of-the(-ones) having-come from you who also
λέξεων ἐνίων μεμνημένοι τὴν διάνοιαν ᾔτουν αὐτοῖς παρ᾽
of-phrases some remembering the meaning asked for-them from
ἡμῶν ἀνακαλύπτεσθαι. ἀλλ᾽ ἡμεῖς τὸν ἡμέτερον τρόπον καὶ
us to-be-uncovered but we the our way also
πρὸς αὐτοὺς οὔτε μετεποιήθημεν τῶν συγγραμμάτων, οὔτ᾽
toward them neither we-laid-claim-to the writings nor
ἐπιγινώσκειν αὐτὰ ἔφαμεν. δεῖ δή σοι νουθεσίας
to-recognize them did-we-say there-is-need indeed for-you of-admonition
οὐκέθ᾽ ἡμετέρας, ὦ φίλη κεφαλή (μικρὰ γὰρ ἢ ὥστε σε
no-longer ours O dear head small for than so-as you
πείθειν)· τὴν δὲ Λύσιδος τοῦ Πυθαγορείου πρὸς Ἵππαρχον
to-persuade the but of-Lysis the Pythagorean to Hipparchus
ἐπιστολὴν ἐπιζήτησον, κἄν που περιτύχῃς, ἐμοὶ χάρισαι
letter seek-out and-if somewhere you-come-on-it to-me grant
τὸ πολλάκις ἐπελθεῖν. τάχ᾽ ἂν ἰσχυρά σοι γένοιτο μετάνοια
the often to-go-over-it perhaps — strong for-you might-be repentance
τῆς οὐ δεούσης ἐκφάνσεως. τὸ γὰρ δαμοσίᾳ φιλοσοφέν
of-the not needful disclosure the for publicly to-philosophize
(οὕτω γάρ πως ὁ Λῦσις ὑποδωρίσας λέγει) μεγάλης εἰς
so for somehow — Lysis having-Doricized says of-great for
ἀνθρώπους ἦρξε τῶν θείων καταφρονήσεως. ἐπεί τοι
men began of-the divine-things contempt since in-truth

συγγεγονὼς ἐγώ τισιν οἶδα καὶ πάλαι μὲν ἀτάρ τοι
having-associated I with-some know both of-old indeed but in-truth
καὶ ἔναγχος ἀνθρώποις, οἳ διὰ τὸ προαλῶς ἀκηκοέναι
also recently men who because-of the rashly to-have-heard
ῥηματίων σεμνοτέρων, ἠπίστησαν ἑαυτοῖς ὅπερ ἦσαν
of-phrases more-august distrusted themselves what they-were
ἰδιώταις εἶναι, καὶ φύσης ἐμπλησθέντες ἐμόλυναν θεσπέσια
private-men to-be and with-wind having-been-filled defiled divine
δόγματα μεταποιήσει διδασκαλίας, ὧν οὐκ εὐτύχησαν
doctrines by-claim of-teaching of-which not they-were-fortunate-in
μάθησιν. καὶ μέντοι καὶ τοὺς θαυμασομένους τρεῖς τινὰς ἢ
learning and indeed also the(-ones) going-to-admire(-them) three some or
τέτταρας οὐδὲν ἀποδέοντας βαναύσους εἶναι τό γε κατὰ
four nothing falling-short-of philistines to-be in-the at-least by
ψυχὰς ἀνηρτήσαντο, μηδὲ διὰ τῶν προπαιδευμάτων ἐνίους
souls they-attached nor-even through the preliminary-studies some
ἠγμένους. δεινὸν γὰρ ἡ δοξοσοφία καὶ ἀπατηλόν, ἐν
having-been-led terrible for the conceit-of-wisdom and deceitful among
οὐκ εἰδόσιν οὐδὲν ἀναδυομένη καὶ πάντα ἀπερισκέπτως
not knowing in-nothing shrinking and all-things recklessly
τολμῶσα. τί γὰρ ἂν ἀμαθίας γένοιτο θαρραλεώτερον;
daring what for — than-ignorance could-be more-daring
τοιούτοις ἀνθρώποις ἀλαζόσι περιτυχὼν κηφῆσιν οὔτ'
with-such men boasters having-met drones neither
ἐπαΐουσι λόγων οὔτ' ἐφιεμένοις, μισήσας τὸ φῦλον οὐχ
understanding words nor desiring having-hated the tribe not
ἑτέραν αἰτίαν εὑρίσκω τῆς τροφῆς αὐτῶν ἢ τὸ ἀναγώγως
other cause I-find of-the nurture their than the without-guidance
καὶ πρὸ ὥρας ἠξιῶσθαι τὴν ἀρχὴν ἴσως ὑφ'
and before season to-have-been-deemed-worthy the beginning perhaps by
ἑτέρων ὁμοίων ὡς οἷόν τε πολυτελῶν ἀκροάσεων. ταῦτά
others like as possible — of-costly lectures these-things

τοι καὶ προμηθέστερος φύλαξ αὐτός τέ εἰμι καί σε
in-truth also more-provident guardian myself both I-am and you
παρακαλῶ τῶν φιλοσοφίας ὀργίων εἶναι. ὅτι μὲν γὰρ
I-exhort of-the of-philosophy rites to-be that indeed for
Ἑρκουλιανῷ πρέποντα ταῦτα, ἐγὼ γινώσκω· δεῖ
to-Herculian fitting these-things I know it-is-needful
δέ σε, εἴπερ αὐτῇ φιλοσοφίᾳ γνησίως προσελήλυθας,
but you if-indeed herself to-philosophy genuinely you-have-come
ἀφίστασθαι κοινωνίας τῆς πρὸς τοὺς ἀποστρόφους αὐτῆς
to-stand-off from-fellowship the toward the(-ones) averse to-her
καὶ νοθεύοντας τῇ μεταποιήσει τὸ ὑπέρσεμνον αὐτῆς. τὸν
and adulterating by-the claim the over-august her by-the
ἔφορόν σοι φιλίας θεόν, μὴ ἐξενέγκῃς πρός τινας τὴν
overseer for-you of-friendship god not carry-out to anyone the
ἐπιστολήν. εἰ γὰρ ποιήσαις, οἱ τῆς κακίας χαρακτῆρες
letter if for you-should-do-so the of-the vice marks
ἕξουσι λυπουμένους τοὺς ἐπιγιγνώσκοντας παρ᾽ ἑαυτοῖς,
will-have being-grieved the(-ones) recognizing among themselves
ἢ τοῖς ἑαυτῶν φίλοις τὰ εἰρημένα σύμβολα.
or to-the their-own friends the having-been-spoken tokens
τὸ δὲ λυπεῖν ἔστι μὲν ὅτε ἄρρεν, καὶ πρὸς τρόπου
the but to-grieve is indeed when manly and after manner
φιλοσοφίας, ὅταν πρὸς παρόντας· τὸ δὲ καὶ γράφειν
of-philosophy when to present-men the but also to-write
περὶ τούτων σμικροπρεπὲς δοκεῖ. ἀλλ᾽ ἅπερ ἂν Συνέσιος
about these-things petty seems but what — Synesius
πρὸς ἑαυτὸν διαλεχθῇ, ταῦτα καὶ πρὸς τὴν τιμίαν σου
to himself may-converse these also to the honored your
ψυχὴν διαλέγεται, τοῦ μόνου φίλου ἢ μετὰ δυοῖν μάλιστα
soul he-converses of-the only friend or with two most
φίλου· ὡς ἐμοί γε ἐκτὸς τῆς τριττύος ὑμῶν οὐδέν
friend as to-me indeed outside of-the triad your nothing

ἐστιν ἀνθρώπινον τίμιον. προσκείμενος δὲ καὶ αὐτὸς τάχα
is human precious added but also myself perhaps
συμπληρῶ τετρακτὺν ἱερᾶς φιλίας. ἀλλ᾽ εὐφημείσθω τῆς
I-complete tetrad of-holy friendship but let-be-hushed of-the
ἐν ἀρχαῖς ὁμωνύμου τετρακτύος ἡ φύσις. ἐν τῷ τετραδίῳ
among principles same-named tetrad the nature in the quire
τῶν ἰαμβείων εὗρον ἐπὶ τέλους τοὺς δώδεκα στίχους
of-the iambics I-found at end the twelve verses
γραφέντας ἅμα, ὡς ἓν ὂν ἐπίγραμμα. ἐπεὶ οὖν σε εἰκὸς
having-been-written together as one being epigram since then you likely
ἔχειν αὐτούς, ἴσθι ὡς οὔτε ἕν εἰσιν οὔτε ἑνός, ἀλλ᾽ οἱ
to-have them know that neither one they-are nor of-one but the(-ones)
μὲν ὀκτὼ πρῶτοι μετ᾽ ἐπιστήμης γραφέντες ποιητικῆς,
indeed eight first with knowledge having-been-written poetic
μιγείσης ἕξεως ἀστρονομικῆς, εἰσὶ τοῦ σοῦ φίλου, οἱ
having-been-mixed habit astronomical are of-the your friend the
δὲ τελευταῖοι τέτταρες ποιητικῆς εἰσὶ τρυφώσης μόνον. καὶ
but last four of-poetry are luxuriating only and
ἔστιν ἀρχαῖον· ἡγοῦμαι δὲ ἀσεβέστερον ἀποθανόντων λόγους
it-is ancient-thing I-think but more-impious of-dead-men words
κλέπτειν ἢ θοιμάτια, ὃ καλεῖται τυμβωρυχεῖν. ἐρρωμένος
to-steal than the-cloaks which is-called to-rob-tombs in-strength
διαβιώῃς, εὐαγῶς καὶ εὐλαβῶς φιλοσοφίας ἀντιποιούμενος.
may-you-live-on purely and devoutly philosophy claiming
εἴκοσι τοῦ Μεσωρὶ ἡμέρας συντίθεμαί σοι περιμένειν σε,
twenty — of-Mesore days I-agree with-you to-await you
μεθ᾽ ἃς σὺν θεῷ τῆς ὁδοῦ ἕξομαι. τὸν ἀγαθώτατον ἑταῖρον
after which with god the road I-shall-take the best companion
πλεῖστά μοι πρόσειπε· φιλῶ γὰρ αὐτὸν διότι σε πάνυ φιλεῖ.
very-much for-me greet I-love for him because you very loves

144

τῷ αὐτῷ

to-the same

Φοιβάμμων ὁ τὴν ἐπιστολὴν ἐπιδιδοὺς καὶ ἀνήρ ἐστιν
Phoebammon the(-one) the letter delivering both man is
ἀγαθὸς καὶ φίλος, καὶ ἀδικεῖται. διὰ πάντα οὖν αὐτῷ
good and friend and is-wronged because-of all-things then him
συλλαβέσθαι δίκαιος εἶ, καὶ δι᾽ ἡμᾶς καὶ διὰ τὸν
to-help just are-you both because-of us and because-of the
τρόπον καὶ διὰ τὴν περίστασιν. τοῦτο μὲν οὕτω γενέσθω·
character and because-of the circumstance this indeed so let-it-happen
καὶ γὰρ ἔοικε σφόδρα πιστεῦσαι τῇ πρὸς ἀλλήλους ἡμῶν
and for he-seems greatly to-have-trusted the toward one-another our
εὐνοίᾳ. σοῦ γὰρ δεόμενος ἐπ᾽ ἐμὲ κατέφυγε, τεθαρρηκὼς
goodwill of-you for needing to me he-fled having-taken-courage
ὅτι δι᾽ ἐμοῦ σοῦ τεύξεται. καὶ ὑπεσχόμην αὐτῷ τὸν
that through me you he-will-obtain and I-promised him —
μὲν Ἑρκουλιανὸν διὰ Συνεσίου, τὸ δὲ νικᾶν τοὺς
indeed Herculian through Synesius the but to-conquer the(-ones)
λυποῦντας δι᾽ Ἑρκουλιανοῦ τῆς ἱερᾶς καὶ τιμίας κεφαλῆς.
grieving-him through Herculian the holy and honored head
περὶ τοῦ κόμητος ἐγεγράφεις δι᾽ Οὐρσικίνου (λέγω δὲ
about the count you-had-written through Ursicinus I-mean but
τοῦ τυχόντος ἀρχῆς τῶν ἐν τῇ πατρίδι στρατιωτῶν)
the(-one) having-obtained command of-the in the fatherland soldiers
καὶ ᾔτεις συνθήματα παρ᾽ ἡμῶν τοῦ γενέσθαι παρὰ τῶν
and you-asked tokens from us for-the to-come from the
δυναμένων τοῦτο ποιεῖν σῶν φίλων γράμματα πρός τε
able this to-do your friends letters to both
αὐτὸν καὶ πρὸς τὸν ὀρδινάριον ἄρχοντα. τὴν μὲν οὖν
him and to the ordinary governor the indeed then

προαίρεσιν ἀπεδεχόμην καὶ τότε· τὸ δὲ ἔργον ὡς παρέλκον
choice I-accepted also then the but deed as superfluous
ἠρνούμην, γυμνὸν ἐμαυτὸν εἰς φιλοσοφίαν ἱστάς. νυνὶ δὲ
I-refused naked myself in philosophy setting now but
ἀδικούμενοι φίλοι, καὶ ἰδιῶται καὶ στρατιῶται, βιάζονταί
being-wronged friends both private-men and soldiers force
με βούλεσθαι μεταποιεῖσθαι τῆς πολιτικῆς δυνάμεως, πρὸς
me to-wish to-lay-claim-to the political power toward
ἣν ἀποπεφυκὼς οἶδα, καὶ αὐτοί μοι τοῦτο συνίσασιν·
which having-grown-averse I-know and themselves with-me this know-well
ἀλλὰ βιάζονται σφῶν αὐτῶν ἕνεκα ποιεῖν τι καὶ
but they-force their own for-the-sake to-do something even
ἀκούσιον. νῦν οὖν εἰ δοκοίη σοι τοῦτο ποιεῖν,
unwilling now then if it-should-seem-good to-you this to-do
ἐπιτρέπω. πρόσειπέ μοι τὸν ἱερὸν ἑταῖρον τὸν διάκονον,
I-permit greet for-me the holy companion the deacon
καὶ γυμναζέσθω πρὸς ἀνταγωνιστὴν ἱππέα. προσαγορεύει
and let-him-train against rival horseman greets
σε πᾶς μου ὁ οἶκος, προσγενομένου αὐτῷ νῦν καὶ Ἰσίωνος,
you all my the house having-been-added to-it now also Ision
ὃν ἐπόθεις ἀπὸ διηγημάτων. ὃς αἴτιός μοι γέγονε τῆς
whom you-longed-for from narratives who cause to-me has-become of-the
ἀγεννοῦς καὶ ἀφιλοσόφου τῶν γραμμάτων αἰτήσεως πρὸς
ignoble and unphilosophic of-the letters request to
τοὺς ἄρχοντας, καταδεηθεὶς τὰ μὲν αὐτοπροσώπως
the rulers having-entreated the(-things) indeed in-person
ὑπὲρ πολλῶν, τὰ δὲ δι' ὧν ἐκόμισεν ἐπιστολῶν. καὶ
for many the(-things) but through what he-brought letters and
οὗτος οὖν σε μέχρι τῆς διηγορευμένης εἰκάδος περιμένει.
this-one then you until the having-been-announced twentieth awaits

145

Τῷ αὐτῷ

to-the same

Οἰκέτης ἐμὸς ἐδραπέτευσεν, οὐ τῶν πατρῴων τῶν ἐμῶν
servant my ran-away not of-the paternal the mine
οὐδὲ τῶν ἄλλως συντραφέντων ἐμοί (ἀγωγῆς γὰρ
nor of-the(-ones) otherwise having-been-reared-with me upbringing for
ἐλευθερίου μετασχόντες καὶ μικροῦ δέω λέγειν ἐν
free having-shared and by-little I-fall-short to-say among
ὁμοτίμοις ἀγόμενοι φιλοῦσιν ὡς αἱρετὸν ἄρχοντα μᾶλλον
equals being-brought-up they-love as chosen ruler rather
ἢ δεδίασιν ὡς νόμῳ δεσπότην), ἀλλ᾽ ὁ Φιλόρωμος
than fear as by-law master but — Philoromus
(τοῦτο γὰρ ὄνομα τῷ δραπέτῃ) τῆς ἀδελφιδῆς μου τῆς
this for name to-the runaway of-the niece my the
Ἀμελίου θυγατρὸς οἰκέτης ὢν ἐμὸς γίνεται δι᾽ ἐκείνης.
of-Amelius daughter servant being mine becomes through her
τραφεὶς δὲ ἐκμελὴς καὶ ἀνάγωγος φιλόσοφον καὶ
having-been-raised but discordant and unruly philosophic and
Λακωνικὴν ἐπιστασίαν οὐκ ἤνεγκε, καὶ νῦν ἀντ᾽ ἐμοῦ
Laconian supervision not he-bore and now instead-of me
δεσπότην εὑρόμενος Ἀλεξανδρέα, περινοστεῖ μετ᾽ ἐκείνου
master having-found Alexandrian roams with him
τὴν Αἴγυπτον. Ἁρποκρατίων τίς ἐστι τῶν Ἡρακλειανοῦ
— Egypt Harpocration someone is of-the of-Heraclian
δορυφόρων, τάξιν ἔχων τῷ βοηθῷ βοηθεῖν (ἡ γὰρ
guards rank having to-the helper to-help the for
σουβαδίουβα λέξις τοῦθ᾽ ἑρμηνεύειν πιστεύεται)· τούτῳ
subadiuva word this to-interpret is-believed with-this-one
σύνεστιν ὁ Φιλόρωμος. κἀγὼ τό γ᾽ ἐμὸν εἴασα
is — Philoromus and-I the at-least mine would-have-let

ἂν χαίρειν αὐτόν· ποῦ γὰρ εὔλογον τὸν μὲν χείρω τῶν
— *to-fare-well him where for reasonable the indeed worse of-the*
βελτιόνων μὴ δεῖσθαι, τοὺς δὲ βελτίονας ὁμολογοῦντας εἶναι
better not to-need the but better admitting to-be
δεῖσθαι τοῦ χείρονος; ἀλλ' ἡ δέσποινα τοῦ κακοδαίμονος
to-need the worse but the mistress of-the wretch
οὔπω πείθεται πάνυ φιλοσοφεῖν, ὥστε καταφρονεῖν τῶν
not-yet is-persuaded very to-philosophize so-as to-despise the(-ones)
οὐκ ἀντεχομένων, καὶ κατεδεήθη πολλὰ σταλῆναι τοὺς
not holding-on and begged much to-be-sent the(-ones)
ἐπανάξοντας αὐτόν. ὑπέστη δὲ τὴν ὑπηρεσίαν ταύτην
going-to-bring-back him undertook but the service this
αὐθαίρετος ὁ σύσκηνος ἡμῶν Ἀειθαλῆς, ὃν ἐγὼ θεῷ
self-chosen the tent-mate our Aeithales whom I with-god
τε ἡγεμόνι θαρρῶν ἔστειλα καὶ ἀνθρωπίνην ἐπικουρίαν
both leader trusting sent and human help
ὑποσχόμενος τὴν παρὰ σοῦ. εἴη σοι τὴν ἐπιστολὴν
having-promised the from you may-it-be to-you the letter
ἐπιδοθῆναι· τὰ δ' ἐντεῦθεν, ἐπειδὴ παρείληφας τὴν
to-be-delivered the(-things) but from-here since you-have-received the
ὑπόθεσιν, θεῷ καὶ αὐτῷ σοι καὶ Ἀειθαλεῖ μελήσει.
case to-god and yourself to-you and to-Aeithales will-be-a-care

146

Τῷ αὐτῷ

to-the same

Ἐπιθυμήσας ἀρρενῶσαι τὴν ἱεράν σου ψυχὴν τῷ δι'
having-desired to-make-manly the holy your soul by-the through
ἐπιστολῶν ἐπιπλῆξαι τῷ σφοδρῷ τῆς εἰς τὴν συντυχίαν
letters to-rebuke the vehement of-the toward the meeting

ἡμῶν ἐνστάσεως, πολλῷ πρότερον ὑπὸ τοῦ κατακλυσμοῦ
our insistence much before by the deluge
τῶν ἐν ταῖς ἐπιστολαῖς ἰύγγων αὐτὸς ἐθηλύνθην, καὶ
of-the in the letters charms myself was-made-womanish and
εἰμὶ νῦν τοιοῦτος οἵῳ σοι τυγχάνοντι πρότερον ἐνεκάλουν.
am now such as you being formerly I-accused
ἆρ᾽ οὖν ἀγαθῶν μοι μεγάλων αἴτιος ὁ θαυμάσιος
— then of-goods for-me great cause the admirable
Ἡρκουλιανός, οὕτω τὴν ἐμὴν ψυχὴν ἀναρτήσας ἑαυτοῦ
Herculian so the my soul having-hung-on himself
καὶ καταβιβάσας τοῦ φιλοσοφίας ἀξιώματος; ἐγὼ μὲν
and having-brought-down from-the of-philosophy dignity I indeed
οὖν οὐ δι᾽ ἄλλο τι τὰς Σειρῆνας ὑπὸ τῶν ποιητῶν
then not because-of other anything the Sirens by the poets
ἡγοῦμαι βλασφημεῖσθαι, ἢ ὅτι τῷ μελιχρῷ τῆς φωνῆς
I-think to-be-reviled than because by-the honeyed of-the voice
ἀπώλλυον, προσαγόμεναι τὸν πιστεύσαντα· ἤκουσα δέ
they-destroyed attracting the(-one) having-trusted I-heard but
του τῶν σοφῶν καὶ ἀλληγοροῦντος τὸν μῦθον. Σειρῆνας
someone of-the wise also allegorizing the myth Sirens
γὰρ αὐτοῖς αἰνίττεσθαι τὰς ἀπολαυστικὰς ἡδονάς, αἳ
for to-them to-be-hinted the voluptuous pleasures which
τοὺς εἵξαντας καὶ καταγοητευθέντας αὐτῶν τῷ προσηνεῖ
the(-ones) having-yielded and having-been-bewitched by-them by-the gentleness
μετὰ μικρὸν ἀπολλύουσι. τί οὖν ἀποδέουσιν εἶναι Σειρῆνες
after little destroy how then do-they-fall-short to-be Sirens
αἱ τῶν σῶν ἐπιστολῶν ἡδοναί, ὑφ᾽ ὧν ἐγὼ τὸ ἐμβριθὲς
the of-the your letters pleasures by which I the gravity
ἀφεὶς ὅλος Ἡρκουλιανοῦ γέγονα; μάρτυς θεός, οὐ νόμῳ
having-let-go wholly of-Herculian have-become witness god not by-custom
τοῦ γράφειν ἀντ᾽ ἄλλου τοὺς περὶ τούτου πεποίημαι
of-the to-write instead-of other the about this I-have-made

λόγους, ἵν᾽ ὑπόθεσιν ἔχω γραμμάτων, ἀλλὰ τῶν παρ᾽
words that subject I-may-have of-letters but of-the by
Οὐρσικίνου δοθεισῶν ἐπιστολῶν (ἦσαν δὲ τρεῖς) ἡ
Ursicinus having-been-given letters they-were but three the
μέση κατὰ τὸ μέγεθος ἔμβιόν τι ψυχῆς πάθος ἐνέσταξέ
middle by the size living some of-soul passion instilled
μοι κομίσασα, καὶ γέγονα τῆς ἐν τοῖς γράμμασι
in-me having-brought and I-have-become than-the in the letters
κολακείας ἥττων τοσοῦτον ὅσον αἰσχύνεσθαι. τὸν ἀδελφὸν
flattery weaker so-much as to-be-ashamed the brother
Κῦρον ἔδει κομίσασθαι παρὰ σοῦ γράμματα περὶ ὧν
Cyrus it-was-needful to-get from you letters about which
ἐδήλωσας διὰ τὸν ἐκ Πενταπόλεως κόμητα. καὶ χάριν
you-indicated through the from Pentapolis count and gratitude
μὲν ἔσχον τῇ προαιρέσει τοῦ συστήσαντος, ἐπελάθου
indeed I-had to-the choice of-the(-one) having-commended you-forgot
δὲ ὅτι φιλοσοφεῖν πειρῶμαι· καὶ μικρὸν ἡγοῦμαι τιμὴν
but that to-philosophize I-try and small I-think honor
ἅπασαν, εἰ μὴ ἐπὶ φιλοσοφίᾳ γένοιτο. δέομαι οὖν διὰ
every if not for philosophy it-happens I-need then because-of
τὸν θεὸν οὐδέν· οὔτε γὰρ ἀδικοῦμεν οὔτ᾽ ἀδικούμεθα. τὸ
— god nothing neither for we-wrong nor are-we-wronged the
δὴ τοιοῦτον ἐκείνῳ μὲν ὑπὲρ ἡμῶν ἔπρεπε ποιεῖν, ἡμῖν
indeed such for-him indeed for us it-befitted to-do for-us
δὲ αἰτεῖν οὐ πρέπον. εἰ γὰρ ἔδει ζητεῖν ἐπιστολάς,
but to-ask not fitting if for it-were-needful to-seek letters
αἰτεῖν ἔδει πρὸς ἐμὲ γενέσθαι (οὕτω γὰρ ἂν
to-ask it-were-needful to me to-be-written so for —
ἐτιμήθην), οὐχ ὑπὲρ ἡμῶν πρὸς ἕτερον. ἐρρωμένος
I-would-have-been-honored not for us to another in-strength
εὐθυμῶν διαβιώῃς, φιλοσοφίαν ἀδολώτατα μετιών. πᾶσα
cheerful may-you-live-on philosophy most-guilelessly pursuing all

ὁμοῦ σε ἡ οἰκία, μάρτυς θεός, καὶ παῖδες καὶ γέροντες
together you the house witness god both children and old-men
καὶ γυναῖκες προσαγορεύουσιν. ἴσως δ' ἂν αὐτὸς καὶ
and women greet perhaps but — yourself even
φιλοφρονουμένας τὰς γυναῖκας μισοίης. ἰδοὺ τί πεποίηκας·
being-friendly the women would-hate behold what you-have-done
ἐν ὁδῷ με ὄντα ἀπρὶξ λαβόμενος κατέχεις. ἦσαν ἄρα
on road me being tightly having-seized you-hold were then
Αἰγύπτιοι φαρμακεῖς, καὶ οὐ πάντα Ὅμηρος ψεύδεται,
Egyptian sorcerers and not all-things Homer lies
ὅτε καὶ αὐτὸς ἰύγγων πλήρεις ἐπιστολὰς ἐκπέμπεις
when also you-yourself of-charms full letters send-out
ἀπ' Αἰγύπτου. Ἑλένῃ μὲν οὖν τὸ λαθικηδὲς φάρμακον
from Egypt to-Helen indeed then the care-banishing drug
Πολύδαμνα πόρεν Θῶνος παράκοιτις· σοὶ δὲ τίς τὸ
Polydamna gave of-Thon wife to-you but who the
ἀνιαρὸν δέδωκεν, ᾧ χρίσας ἔπεμψας τὴν ἐπιστολήν;
grievous has-given with-which having-anointed you-sent the letter

147

Ἰωάννῃ

to-John

Οἶμαί σε καὶ πρὸ εὐχῆς εὖ πράττειν, ὅς γε ἀφεὶς τοὺς
I-think you even before prayer well to-fare who indeed having-left the
ἀνθρώπους ἡμᾶς Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας
men us of-Ate in meadow in darkness wandering
καὶ ταῖς χθονίαις ἐγχαλινδουμένους φροντίσιν, αὐτὸς ὑπὲρ
and in-the earthly wallowing cares yourself above
ταύτας στήσας σαυτὸν ἀνεχώρησας ἔτι δεῦρο ὢν καὶ
these having-set yourself withdrew still here being and

μακαρίας ἥψω ζωῆς, εἰ μὴ φίλος ὢν Γάνος ἐν τῷ λέγειν καὶ
blessed touched life if not friend being Ganus in the to-speak and
διαγγέλλειν τὰ σὰ πρὸς ἡμᾶς οἴεται δεῖν τι
to-report the(-things) yours to us thinks it-to-be-needful something
καὶ ψεύδεσθαι· δεινὸν γὰρ ἡ εὔνοια κλέψαι τὴν ἀλήθειαν.
also to-lie terrible for the goodwill to-steal the truth
οὗτος οὖν ὁ Γάνος ἐπεφήμισέ σοι τὸν μονήρη βίον, καὶ
this then — Ganus ascribed to-you the solitary life and
πρόφασιν τῆς εἰς τὴν πόλιν εἰσόδου βιβλία καὶ τὸν νοῦν
pretext of-the into the city entrance books and the sense
αὐτῶν ὅσος εἰς θεολογίαν συντείνει, καὶ φαιὸν τριβώνιον
of-them as-much-as to theology tends and gray cloak
ἀμπέχεσθαί σέ φησιν. οὐδὲν μὲν ἦν μεῖον, εἰ καὶ λευκὸν ἦν·
to-wear you he-says nothing indeed was less if even white it-were
τῇ γὰρ φανοτάτῃ φύσει μᾶλλον ἂν ἀνακείμενον εἴη τὸ
to-the for most-luminous nature rather — dedicated would-be the
ἐν τοῖς αἰσθητοῖς καθαρὸν καὶ φωτοειδέστερον· εἰ δὲ καὶ τὸ
in the sensibles pure and more-luminous if but also the
μέλαν ἐπῄνεσας, ἐπειδὴ ζήλῳ τινῶν προλαβόντων ἐποίησας,
black you-praised since in-zeal of-some having-gone-before you-did-it
ἐπαινῶ πᾶν τὸ ἐπὶ τῷ θείῳ γινόμενον. τὸ γὰρ οὗ
I-praise all the for the divine being-done the for of-which
χάριν γίνεται, δίδωσι κατορθοῦν τῷ ποιοῦντι, καὶ ἡ
for-the-sake it-is-done gives to-succeed to-the(-one) doing and the
προαίρεσις ἔχει τὴν ἀρετήν. ἡμεῖς μὲν οὖν σοι συνηδόμεθα
choice has the virtue we indeed then with-you rejoice
σχεδιάσαντι τὸ τέλος ὅπερ ἡμεῖς πάλαι σὺν πόνῳ μόλις
having-improvised the end which we long-ago with toil scarcely
θυροκοποῦμεν· σὺ δὲ ἡμῖν σύνευξαι φθάσαι ποτὲ καὶ αὐτοῖς,
knock-at you but for-us pray-with to-arrive sometime also ourselves
καὶ εὑρέσθαι τι κέρδος ἀπὸ τῆς ἐν φιλοσοφίᾳ μερίμνης, ἵνα
and to-find some gain from the in philosophy care that

μὴ τὴν ἄλλως ὦμεν κατατετριφότες πρὸς τοῖς βιβλίοις
not the otherwise we-may-be having-worn-away over the books
τὸν βίον. ἐρρωμένος εὐδαιμονῶν διαβιώῃς, θαυμάσιε.
the life in-strength being-happy may-you-live-on admirable

LETTERS 148–153

To Olympius he describes his country estate: inland salt, neighbors who have never seen the sea and take salted fish for snakes, the sounds of herds and bees, simple meals, hunting with dogs and horses, songs to the lyre, and peasants who think Agamemnon still reigns and that Odysseus blinded the Cyclops last year. He tells Olympius he is never forgotten; to Pylaemenes he commends Alexander's son, sent like Heracles against wicked men, fears for his philosophy amid the market, and asks for more frequent letters.

148

Ὀλυμπίῳ

to-Olympius

Ἀπέλιπον τὴν τάξιν τῶν φόρων. τί γὰρ ἦν ποιεῖν,
I-have-left-off the order of-the tributes what for was-it to-do
οὐδενὸς Ἑλλήνων τῶν τὴν Λιβύην ἐπῳκηκότων
no-one of-Greeks of-the(-ones) — Libya having-settled-in
θέλοντος εἰς τὴν παρ᾽ ἡμῖν θάλατταν ἐκπέμπειν ὁλκάδας;
willing to the among us sea to-send-out merchantmen
καὶ σὲ δὲ ἀφίημι τῆς συντάξεως· οὐδὲ γὰρ Σύροις
also you but I-release from-the contribution not-even for for-Syrians
ἐπιμελὲς καταίρειν εἰς τὰ Κυρηναίων ἐπίνεια. λάθοι
a-care to-put-in to the of-Cyrenaeans ports would-escape-notice
δ᾽ ἄν με τοῦτό ποτε καὶ γενόμενον· οὐ γάρ εἰμι γείτων
but — me this ever even having-happened not for I-am neighbor

θαλάττης οὐδ' ἐλλιμενίζω συχνά, ἀλλ' ἀνῴκισμαι πρὸς
of-sea nor do-I-lie-in-harbor often but I-have-settled toward
νότον ἄνεμον Κυρηναίων ἔσχατος, καὶ γείτονες ἡμῖν εἰσὶν
south wind of-Cyrenaeans last and neighbors to-us are
οἵους Ὀδυσσεὺς μετὰ τὴν Ἰθάκην τὸ πηδάλιον ἔχων ἐζήτει,
such-as Odysseus after — Ithaca the oar having sought
μῆνιν Ποσειδῶνος ἐκ τοῦ χρησμοῦ παραιτούμενος, οἳ
wrath of-Poseidon from the oracle averting who
οὐκ ἴσασι θάλασσαν ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον
not know sea men nor — with-salt having-been-mixed
εἶδαρ ἔδουσιν. ἀλλὰ μὴ λόγον ἄλλως οἰηθῇς τὸ μηδὲ
food eat but not story otherwise think the not-even
μέχρις ἁλῶν τοὺς δεῦρο κεχρῆσθαι θαλάττῃ, μηδὲ μὴν
as-far-as salt the(-men) here to-have-used sea nor indeed
ἄναλα διὰ τοῦτο κατεσθίειν ἡγοῦ τὰ κρέα τε καὶ τὰ
unsalted because-of this to-eat think the meats both and the
πέμματα. εἰσὶ νὴ τὴν ἱερὰν Ἑστίαν, εἰσὶν ἠπειρῶται
cakes there-are by the holy Hestia there-are inland
παρ' ἡμῖν ἅλες, ἀπέχοντες πρὸς νότον ἔλαττον ἢ πρὸς
